πολὺς εἰσεκομίζετο σῖτος. τοῦτο γοῦν[1]) *τὸ νόμιμον μόνοις ἀθηναίοις*[2]) *χρήσιμον, ἀλεξανδρεῦσι δὲ ἢ ἑτέροις, παρ' οἷς ἐστὶν ἀφθονία σίτου οὐ μόνον περιττὸς, ἀλλὰ καὶ καταγελαστὸς ὁ τοιοῦτόν τι νομοθετῶν. Δεύτερον παράδειγμα τοῦ πολιτικοῦ νομίμου*[3]) *ἡ τῶν λακεδαιμονίων πόλις, ἥτις ἐκέχρητο ξενηλασίᾳ, λυκούργου τοῦτο νομοθετήσαντος, ἵνα μὴ διὰ τῆς τῶν ξένων ἐπιμιξίας διαφθείροιτο καὶ χεῖρον γένοιτο τὸ τῶν λακεδαιμονίων ἦθος. Ὁ τοιοῦτος νόμος τιμάσθω μὲν*[4]) *παρὰ λακεδαιμονίοις, ἀθηναῖοι δὲ*[5]) *τούτου καταφρονοῦσι, τοσοῦτον τῆς ξενηλασίας ἀφεστῶτες, ὅτι καὶ βωμὸς ἐλέους τιμᾶται παρ' αὐτοῖς, καὶ οὕτως ἑτοίμως τοὺς εἰς αὐτοὺς*[6]) *φοιτῶντας ἀποδεχόμενοι*[7]), *ὅτι*[8]) *πολλάκις διὰ φιλανθρωπίας ὑπερβολὴν καὶ πολεμεῖν ὑπὲρ αὐτῶν οὐκ ὤκνησαν. Ἅπας οὖν δῆμος ἢ ἐγγράφοις κέχρηται νόμοις ἢ ἀγράφοις. καὶ πῇ μὲν ἰδίοις τουτέστι πολιτικοῖς, πῇ δὲ κοινοῖς τουτέστι* iurisgentíois[9]). *ὅσα γὰρ νόμιμα ἑκάστη πόλις ἑαυτῇ συνεστήσατο καὶ μέχρις αὐτῆς ἵσταται*[10]) *ταῦτα δὲ καὶ* iuris-ciuile[11]) *προσαγορεύεται· ὅσα δὲ ὁ φυσικὸς ἤτοι*[12]) *ἐθνικὸς νόμος μεταξὺ πάντων ἀνθρώπων*[13]) *ἐφεῦρε, ταῦτα παρὰ πᾶσιν ἔθνεσι φυλάττεται καὶ* iurisgéntia[14]) *προσαγορεύεται.*

Καὶ ὁ δῆμος οὖν ὁ ῥωμαϊκὸς ποτὲ μὲν πολιτικοῖς ποτὲ δὲ ἐθνικοῖς κέχρηται νόμοις, ἅτινα καθέκαστον καὶ[15]) *ὁποῖα τὴν φύσιν ἐστὶν ἐν τοῖς οἰκείοις ἐκθησόμεθα τόποις. 2. ἀλλὰ τὸ μὲν* 2
πολιτικὸν νόμιμον ἐκ μιᾶς ἑκάστης πόλεως προϊὸν ἐν ᾗ κρατεῖ[16]) *δέχεται τὴν ὀνομασίαν*[17]). *εἰ γάρ τις θέλει τοῦ*[18]) *σόλονος ἢ δράκοντος νόμους* **iurisciuile atheniensium.** [19]) *του-*

---

[1]) de P. [2]) *νομ. ἀθ. χρησ. ἀλ.* L^2. *νομ. ἀθ. χρ. ἀλ.* P. *ἀθ. χρ. μόνοις ἦν* F. R. ita L^1. [3]) *νόμου* P. *ὁ τῶν* F. [4]) *μὲν* de P. *τιμᾶται* F. R. [5]) *γὰρ* P. [6]) *αὐτὴν* P. [7]) *ὑποδ.* F. R. [8]) de P. [9]) L^2. iurigentíois L^1. *ἰουρις γεντίοις* P. iuribus gentilibus F. iure gentium R. *τουτέστι νομίμοις ἐθνικοῖς ἤτοι φυσικοῖς* P. et cod. vet. Salmasii. [10]) *ἵστανται* P. edd. recte F. [11]) L^1. L^2 *ἰουρις κιβιλες* P. iura civilia F. ius civile R. *τουτέστιν πολιτικὰ* P. add. [12]) *ὁ* add. P. [13]) d. L^1. *τῶν ἀνθρ.* P. [14]) iura civilia F. ius gentium R. [15]) d. P. [16]) *καὶ ἐξ αὐτῆς* add. P. [17]) *οἷον τὸ τῶν ἀθηναίων* P. R, qui add. *καὶ λακεδαιμονίων.* Ex gloss. ortum, ut uel ex L^2. cognosci potest. [18]) *τοὺς* P. [19]) iuriscibile atinacisium L^1. L^2. ius civile A. F. R.

magna eo frumenti uis, ut patet, esset aduecta. hoc autem ius Atheniensibus solis proderat: apud Alexandrinos uero aliosue, qui frumento abundant, non tantum importunus set et ridiculus fuisset qui eiusmodi legem tulisset. Aliud exemplum iuris ciuilis Lacedamoniorum ciuitas praebet, quae, Lycurgo constituente, ξενηλασίᾳ utebatur, ne peregrinorum commixtione Lacedaemoniorum mores corrumperentur atque in deterius mutarentur. quod ius apud Lacedaemonios quidem seruetur; Athenienses uero id contemnunt, qui adeo ab expellendis peregrinis absunt, ut ara apud eos Misericordiae colatur, tamque comiter eos qui ad se ueniant excipiant, ut prae summa humanitate ne bellum quidem gerere pro his sint morati.

Omnis igitur populus aut scriptis utitur legibus aut non scriptis, et partim quidem propriis, i. e. iure ciuili, partim uero communibus, i. e. iure gentium. nam quaecumque quaeque ciuitas sibi constituit et intra eam consistunt, uocantur ius ciuile; quaecumque autem naturalis seu communis ratio inter omnes homines introduxit, ea apud omnes homines custodiuntur et ius gentium appellantur. et populus itaque romanus partim ciuili, partim communi iure utitur, quae singula quaeque sint suis locis pro-
2. ponemus. 2. Set ius quidem ciuile ex unaquaque ciuitate, ubi uiget, appellationem sumit. nam si quis uelit Solonis uel Draconis leges ius ciuile Atheniensium appellare,

τέστι πολιτικὸν νόμιμον τῶν ἀθηναίων, ἀποκαλέσαι οὐκ ἂν διαμάρτοι[1]) *οὐδὲ σφαλοίη τῆς ἀληθείας.*[2]) *ὡσαύτως καὶ τὸ νόμιμον, ᾧπερ ἡ*[3]) *ρωμαϊκὴ κέχρηται πολιτεία* iurisciuile romanorum *ἤτοι* iurisciuile quiritium *τουτέστιν ὧν κέχρηνται οἱ κουρῖται*[4]) (*οἱ γὰρ ρωμαῖοι ἀπὸ κουϊρίνου*[5]) *τουτέστι ρωμύλου τοῦ ἐξ ἄρεως τὴν γένεσιν ἔχειν*[6]) *αὐχοῦντες*[7]) *κουρῖται προσαγορεύονται*). *ἡνίκα δέ τις ἀπροςδιορίστως εἴποι* iuriscivile *οὗ*[8]) *προςτιθεμένου* atheniensium *ἢ* lacedaemoniorum[9]) *τὸ ρωμαϊκὸν σημαίνει, ὥςπερ ἡνίκα ποιητὴν εἰπόντες καὶ*[10]) *μὴ προςτιθέντες*[11]) *τὸ κύριον ὄνομα παρ' ἕλλησι μὲν δηλοῦμεν τὸν ὅμηρον, παρὰ δὲ ρωμαίοις τὸν βιργίλιον. Τὸ δὲ ἐθνικὸν νόμιμον κοινὸν τοῦ παντὸς ἀνθρώπων γένους ἐστιν. τῆς γὰρ*[12]) *χρείας καλούσης καὶ τῆς ἀνθρωπίνης ἀνάγκης ἀπαιτούσης, τὸ ἡμέτερον γένος ἐφεῦρεν ἐφ'*[13]) *ἑαυτῷ πάμπολλα ἤτοι κατεστήσατο. καὶ γὰρ ἀνεφύησαν πόλεμοι καὶ τούτοις ἐπηκολούθησαν αἰχμαλωσίαι καὶ εἰσηνέχθησαν δουλεῖαι, ὅπερ ἐναντιοῦσθαι τῷ φυσικῷ συμβαίνει νόμῳ. ἡ γὰρ φύσις ἐξ ἀρχῆς πάντας ἀνθρώπους ἐλευθέρους οἶδε τικτομένους. ἐκ τούτου τοῦ ἐνθνικοῦ νομίμου καὶ πάντα σχεδὸν ἐπενοήθεσαν τὰ συναλλάγματα, οἷον ἀγορασία πράσις μίσθωσις ἐκμίσθωσις κοινωνία παρακαταθήκη δάνεισμα καὶ ἕτερα πάμπολλα συναλλάγματα.* 3. *Εἰπόντες τὴν* 3. *πρώτην τῶν νόμων διαίρεσιν, ὅτι οἱ μὲν φυσικοὶ, οἱ δὲ ἐθνικοὶ, οἱ δὲ πολιτικοὶ, καὶ ἕκαστον ὁρισάμενοι καὶ παραδείγμασι σαφηνίσαντες, ἔλθωμεν ἐπὶ*[14]) *δευτέραν τῶν νόμων διαίρεσιν. τῶν νόμων οἱ μὲν*[15]) *ἔγγραφοι, οἱ δὲ ἄγραφοι. ἔγγραφος δὲ νόμος ἐστὶν*[16]), *οἷον ἡ*[17]) lex *τὰ*[18]) plebiscita sena tusconsulta[19]) *διατάξεις βασιλικαὶ ἀρχόντων ἤδικτα τῶν σοφῶν ἀποκρίσεις.* 4. *ἡδέως* 4. *δέ*[20]) *ἂν*[21]) *ἐμάνθανον πόσοι παρὰ ρωμαίοις εἰσὶ νομοθέται*[22]).

---

1) *ἁμάρτοι* P. 2) plura glossemata hoc loco vet. edd. receperant, recte F. expunxit ope libr. paris. desunt et L^1. L^2. L^6. P. 3) de. L^1. 4) *κουρῖτες* L^1. L^2. *κουϊρῖται* F. R. 5) *κουρίτου* P. 6) d. P. 7) — *τος* R. 8) *μὴ* P. 9) L^1. L^2. L^6. P. *τοῦ τῆς δεῖνα πόλεως* F. R. 10) d. P. 11) *προσθ.* P. 12) d. L^1. L^2 *τῆς γὰρ τῆς* F. 13) d. P. *ἀφ'* F. R. 14) *τὴν* add. P. 15) *εἰσὶν* add. P. 16) *καὶ ἔγγραφοι μὲν νόμοι εἰσὶν* F. R. 17) d. P. qui addit. *ἡ τοῦ δήμου νομοθεσία.* 18) d. P. 19) —tum P. 20) *γὰρ* P. 21) d. P. F. R. 22) —*σίαι* P.

non peccauerit neque a ueritate aberrauerit. similiter et ius, quo romanorum utitur ciuitas, ius ciuile romanorum uocatur seu ius ciuile Quiritium, idest quo Quirites utuntur. Romani enim a Quirino idest Romulo a Marte sato originem ducere gloriantur ideoque Quirites audiunt. quotiens autem quis indefinite *ius ciuile* dicit, non addens Atheniensium uel Lacedaemoniorum, romanum significat. sicuti cum *poetam* dicentes proprium nomen non addimus, significamus apud Graecos Homerum, apud Romanos autem Vergilium. ius autem gentium omni humano generi commune est; nam usu exigente et humanis necessitatibus postulantibus, genus nostrum plura sibi inuenit, seu constituit. nam et bella orta sunt, quibus captiuitates sunt secutae atque seruitutes introductae sunt, quae iuri naturali sunt contraria. natura enim omnes homines liberos gigni nouit. ex hoc iure gentium omnes pene contractus introducti sunt, ut emptio uenditio locatio conductio societas depositum mutuum et alii complures contractus.

3 3. Cum primam legum diuisionem exposuerimus, quarum aliae sunt naturales aliae iuris gentium, aliae demum iuris ciuilis, et singulas definierimus, atque exemplis illustrauerimus, ad alteram legum diuisionem procedamus. Legum quaedam sunt scriptae, quaedam non scriptae. leges autem scriptae sunt lex plebiscita senatus consulta principum placita magistratuum
4. edicta prudentium responsa. 4. Libenter uero discerem quot sint apud Romanos legum conditores et quinam ii sint et

καὶ τίνες οὗτοι καὶ πῶς τὰ παρ' ἑκάστου νομοθετούμενα κέκληται.[1]) *Ἕξ παρὰ ῥωμαίοις εἰσιν οἱ*[2]) *νομοθέται. δῆμος χυδαῖος δῆμος σύγκλητος βασιλεὺς ἄρχοντες τῆς ῥώμης*[3]) *σοφοί. καὶ τί ἐστι δῆμος; κοινῆς τύχης σύνοδος κατὰ ταὐτὸ*[4]) *συναριθμουμένων τοῖς ἰδιώταις καὶ τῶν συγκλητικῶν. τὸ δὲ παρὰ τοῦ δήμου νομοθετούμενον λέγεται* lex. *ἐπειδὴ*[5]) *ἐγγράφως ὁ δῆμος ἐνομοθέτησε κοινὸν δὲ*[6]) *τῶν ἐγγράφων νόμων ὄνομα τὸ*[7]) lex, *ἐπειδὴ*[8]) *κορυφαιότατος ὁ δῆμός*[9]) *ἐστι τῶν νομοθετῶν, ἔδει καὶ*[10]) *τὴν αὐτοῦ νομοθεσίαν κεκοσμεῖσθαι τῷ κοινῷ τῶν ἐγγράφων νόμων ὀνόματι. ἐγίνετο δὲ*[11]) *τοῦτον τὸν τρόπον. τοῦ συγκλητικοῦ ἄρχοντος οἷον τοῦ*[12]) *ὑπάτου ἐρωτῶντος εἰ χρὴ τόδε νομοθετεῖν, ὁ δῆμος ἐπένευσεν.*[13]) *ὁ*[14]) *χυδαῖος* [a]) *δῆμός ἐστι τὸ λοιπὸν ἅπαν πλῆθος ὑπεξῃρημένων τῶν συγκλητικῶν. τὸ δὲ παρ' αὐτῶν νομοθετούμενον* plebísciton *λέγεται, τουτέστι τὸ ὑπὸ τοῦ πλήθους γνωσθὲν καὶ κυρωθέν. τοῦ γὰρ* plebiscítu[15]) *ἄρχοντος τουτέστι τοῦ τριβούνου (οὗτος δέ ἐστιν ὁ δήμαρχος) ἐρωτῶντος, ἐνομοθέτει τὸ πλῆθος. τὸ δὲ χυδαῖον πλῆθος τοῦ δήμου τούτῳ διενήνοχε, ᾧ διενήνοχε γένος ἀπὸ εἴδους. τῇ γὰρ τοῦ δήμου προσηγορίᾳ πάντες σημαίνονται πολῖται, συναριθμουμένων πατρικίων καὶ συγκλητικῶν. τῇ δὲ τοῦ* plebiscítu[16]) *ὀνομασίᾳ δίχα πατρικίων τε καὶ συγκλητικῶν οἱ λοιποὶ πολῖται δηλοῦνται. ἐν τρίτῃ τάξει νομοθετεῖ παρὰ ῥωμαίοις ἡ σύγκλητος. σύγκλητος δέ ἐστι σύστημα ἐξ ἐπιλέκτων ἀνδρῶν καθαρεῦον ἰδιώτου παντός. τὸ δὲ παρ' αὐτῶν νομοθετούμενον λέγεται ἰδικῷ*[17]) *ὀνόματι* senatus consultum, *τουτέστι τῆς συγκλήτου τὸ θέσπισμα. ἀλλ' ἔχει τις εἰπεῖν· πῶς δυνάμενοι συνιέναι*[18]) *καὶ* legem *ἤγουν νόμον ποιεῖν εἰς διαφόρους διῃρήθη-*

1) *—ηνται* P. 2) d. P. 3) *καὶ* add. P. 4) *κατ' αὐτὸ* P. 5) *γὰρ* add. F. 6) d. P. 7) *καθὸ ἐξ αὐτοῦ κατάγονται αἱ λοιπαὶ νομοθεσίαι* R. perperam ins. 8) *γὰρ* add. P. qui et *κορυφαῖον* hab. 9) om. L. 1. 2. 10) d. P. *καὶ ἔδει* L1. L2. 11) *γὰρ* P. 12) d. P. 13) *ἐπένευεν* P. F. R. 14) d. P. 15) L1. L2. *πλεβισκίτου* P. F. R., qui perperam cj. plebis *τοῦ*. 16) L1. L2. *πλεβισκήτου* P. plebis F. R. 17) P. R. edd. uet. *ἰδιωτικῷ* L1. L2. F. 18) P. L1. *δυναμένου* L2. *τοῦ δήμου* add. F. R. nomin. absolutum esse uidetur, quod non semel apud Thum. occurrit.

a) Bas. schol. ad 60, 3, 1.

quomodo iura a singulis condita appellentur. sex apud Romanos iura condunt, populus plebs senatus princeps magistratus romani prudentes. et quid est populus? hominum communis condicionis conuentus, quo priuati pariter ac senatores continentur. ius autem quod a populo conditur *lex* audit. cum enim scriptum ius a populo conderetur, commune autem scripti iuris nomen lex esset, cumque omnium legum latorum quodammodo caput esset populus, merito ius ab eo conditum communi scriptorum iuris praeceptorum nomine est decoratum. constituebatur autem hoc modo: senatore magistratu interrogante, ueluti consule, an id optinere oporteret, populus adnuebat. Plebs est reliqua omnis multitudo, senatoribus exceptis. ius autem ab ea conditum *plebi scitum* est appellatum, id est quod plebs statuit ratumque habuit. plebeio enim magistratu, ueluti tribuno, interrogante, plebs constituebat ius. Plebs autem a populo eo differt, quo species differt a genere. populi enim appellatione uniuersi ciues significantur connumeratis patriciis ac senatoribus, plebis autem appellatione sine
5. patriciis ac senatoribus ceteri ciues indicantur. 5. Tertio loco iura condit apud Romanos senatus. senatus est collegium uirorum selectorum, omni discreto plebeio. ius quod ab eo conditum est proprio nomine dicitur *senatus consultum*. set erit qui dicat: cur cum possent conuenire, legemque constituere, ius in tam uarias abiit appellationes?

σαν τῶν νόμων[1]) ὀνομασίας; ἡ δὲ αἰτία ἐστιν αὕτη.[a]) Ἐν τῇ Ῥώμῃ πολυανθρώπῳ οὔσῃ, οἷα φιλεῖ γίνεσθαι, στάσις καὶ διχόνοιά τις ἀνεφύη μεταξὺ τῶν συγκλητικῶν καὶ τοῦ χυδαίου δήμου. τυχὸν προτίμησιν βουλομένων ἔχειν[2]) τῶν συγκλητικῶν· τούτου χάριν ἀλλήλων ἐχωρίσθησαν καὶ ἰδίᾳ διῆγον καὶ ἰδίᾳ ἐπολιτεύοντο. καὶ[3]) ἐπειδὴ τοὺς[4]) ἐν πολιτείᾳ ὄντας δίχα πραγμάτων οὐκ ἐνῆν[5]) βιοῦν, διὰ τὸ τὰς ἐγειρομένας καταπαύειν[6]) φιλονεικίας τε καὶ δίκας, ἐτίθεντο νόμοι ὑπὸ τῶν συγκλητικῶν. ἐνομοθέτει δὲ κεχωρισμένως[7]) καὶ ὁ χυδαῖος δῆμος καὶ εἰκότως ἐδέχετο διάφορον τὰ παρ' αὐτῶν νομοθετούμενα προσηγορίαν.[8]) τὸ γὰρ ὑπὸ τῆς συγκλήτου τιθέμενον lex οὐκ ἠδύνατο[9]) προσαγορεύεσθαι διὰ τὸ μὴ προσεῖναι τὴν τοῦ χυδαίου δήμου προαίρεσιν καὶ ἀναγκαίως ἐκ τῶν εὑρόντων[10]) ἐκλήθη senatus consultum.[11]) senatus γάρ ἐστιν ἡ σύγκλητος, consulere δὲ τὸ πρόνοιαν ποιεῖσθαι. ἐπειδὴ οὖν πρόνοιαν ἡ σύγκλητος[12]) ποιουμένη[13]) τῶν δικῶν[14]) καὶ ὑποπιπτόντων[15]) ἐτίθετο νόμον[16]), δικαίως ἐκλήθη senatus consultum, καὶ παρὰ τοῖς ἰδιώταις δὲ δικῶν ἐτίκτετο πρόφασις[17]) καὶ νόμος ἐτίθετο παρ' αὐτοῖς. ὃς οὐκ ἠδύνατο λέγεσθαι[18]) lex διὰ τὸ μὴ κατὰ γνώμην γεγράφθαι τῶν συγκλητικῶν, ἐκαλεῖτο οὖν plebísciton, τουτέστι[19]) τοῦ πλήθους ἡ γνῶσις καὶ νομοθεσία. ἐπειδὴ δὲ[20]) τὰς ἔχθρας ἀθανάτους[21]) μένειν αὐτοῖς οὐκ ἐνῆν, Orténsiós[22]) τις φιλόπολις ὢν συνεβούλευσεν αὐτοῖς ἀποτίθεσθαι[23]) μὲν τὴν πρὸς ἀλλήλους[24]) δυςμένειαν εἰς ὁμόνοιαν δὲ τραπῆναι τὰ[25]) διὰ τὴν ἔχθραν συμβαίνοντα[26]) δυσχερῆ διηγησάμενος καὶ πείσας

---

1) τὸν-ον P. R. l. οἱ νόμοι. 2) ἕ. β. F. R. 3) d. P. 4) add. P. 5) ἦν R. οὐ δυνατὸν δίχα πρ. β. P. 6) ἀναπ. P. 7) L1. L2. P. —ος F. R. 8) διαφόρας — προσηγορίας P. τὰ π. α. ν. διάφ. πρ. R. 9) L1. L2. οὐκ ἠδ. F. R. 10) εὑρηθέντων P. 11) τουτέστι τῆς συγκλήτου τὸ δόγμα L2. P. F. R. 12) ἡ σ. πρ. P. R. 13) ἐποιεῖτο P. Vi. 14) τῶν δίκαις R. 15) τῶν ὑποπιπτουσῶν P. Vi. de. art. R. αὐτῶν ὑποπιπτουσῶν meo periculo temptarem. 16) νόμους P. R. 17) ἐτίκτοντο προφάρεις R. F. 18) καὶ ins. L1. L2. 19) d. L1. L2. 20) d. P. 21) παρ' add. F. R. 22) ὀρτίκιος L1. P. edd. omn. ant. F. oρtinsios L2. Ὀρτήσιος F. R. 23) ἀποθ. P. 24) ἀλλήλοις G. F. 25) καὶ P. 26) τὰ add. P.

a) cf. Pompon. Dig. 1, 2, 2, 8.

ratio autem haec est. cum Roma ciuibus abundaret, orta est, ut fieri solet, seditio quaedam et contentio inter patricios atque plebeios, forte cum patricii summa rerum uellent potiri. ideoque secessio facta est et seorsim utrique agebant atque regebantur. atque cum non possent in republica uersari quin negotia contraherent, ad controuersias litesque inde ortas dirimendas a patriciis iura condita sunt. seorsim uero ius a plebe quoque conditum est, diuersamque utrorumque iura appellationem merito nacta sunt. nam quod a senatu constitutum erat lex appellari non poterat, cum plebis adsensus non adcessisset, et ideo necessario ab iis, qui id sanxerant, senatus consultum est uocatum, a senatu nempe et a consulendo. cum igitur senatus lites dirimendas susciperet, iisque natis, ius constitueret, merito senatus consultum hoc audiebat. item et apud plebem controuersiarum occasiones oriebantur iusque apud eam condebatur, quod nequibat lex appellari, utpote quod patriciorum consensu scriptum non esset; uocabatur itaque plebi scitum, nempe quod plebs sciuisset atque tulisset. cum uero inimicitiae perpetuae apud eos esse non possent, Hortensius quidam uir patriae amantissimus suasit eis mutuam quidem maliuolentiam deponere, ad concordiam autem reuerti, calamitates quae per discordias accidere soleant ostendens, et

εἰς φιλίαν συνήλασε.[a]) συνελθόντων οὖν κατὰ ταὐτὸ[1]), ὁ χυδαῖος ἐβούλετο δῆμος τὰ παρ' αὐτοῦ νομοθετηθέντα κρατεῖν καὶ κατὰ τῶν συγκλητικῶν, ἀπῄτει δὲ καὶ ἡ σύγκλητος ὥςτε τὰ senatusconsulta καὶ κατὰ τῶν[2]) ἰδιωτῶν ἰσχύειν. καὶ[3]) ἑκατέρων[4]) ἐναντιουμένων καὶ τῶν μὲν συγκλητικῶν ἀπαξιούντων δέχεσθαι τὰ plebíscita, τοῦ δὴ χυδαίου δήμου δυσαναςχετοῦντος καὶ τοῖς senatusconsúltois ὑποκύπτειν μὴ βουλομένου, ἔμελλεν ἀνανεοῦσθαι τὰ τῆς ἔχθρας, μέχρις οὗ ὁ αὐτὸς Orténsios παύσας αὐτῶν τὴν διχόνοιαν ἔπεισε τὰς ἀλλήλων δέξασθαι[5]) νομοθεσίας καὶ ταύταις ὑπείκειν. καὶ οὕτω lex μὲν οὐκ ἠδυνήθη κληθῆναι τὸ παρ' ἑκατέρου τεθὲν διὰ τὸ μὴ τὴν ἀρχὴν κατὰ συναίνεσιν τῶν δύο τίθεσθαι[6]) μερῶν· ἐπειδὴ[7]) δὲ[8]) τὴν αὐτοῦ ἔκβασιν ἔσχε καὶ τοῦ αὐτοῦ ἔτυχεν ἀποτελέσματος, τὸ κρατεῖν κατὰ πάντων, legis ordinem habet[9]), τουτέστι νόμου τάξιν ἔχει.[b]) τοῦ δὲ χρόνου προϊόντος καὶ τῶν ῥωμαίων εἰς πολὺ πλῆθος αὐξομένων[10]), ὡς δυσχερὲς[11]) εἶναι[12]) τὸ[13]) εἰς ἕνα τόπον γίνεσθαι σύνοδον τοῦ νομοθετεῖν ἕνεκα, δικαιότατον ἐνομίσθη ἐν τάξει τοῦ παντὸς δήμου τὴν σύγκλητον μόνην[14]) νομοθετεῖν. 6. Εἰρή- 6.
χαμεν τρεῖς νομοθέτας[15]) δῆμον χυδαῖον δῆμον[16]) σύγκλητον. εἰπόντες τὸν ὅρον[17]) ἑκάστου καὶ πῶς ὠνόμασται τὸ παρ' αὐτοῦ νομοθετούμενον, εἴπωμεν καὶ περὶ[18]) τετάρτου νομοθέτου. τέταρτος νομοθέτης ἐστὶ παρὰ ῥωμαίοις ὁ βασιλεύς. καὶ τί ἐστι βασιλεύς; βασιλεύς ἐστι[19]) ὁ τὸ κράτος τοῦ ἄρχειν παρὰ τοῦ δήμου λαβών. τὸ δὲ παρ' αὐτοῦ νομοθετούμενον ὀνόματι γενικῷ κέκληται[20]) constitutíωn, τουτέστιν ἡ[21]) διάταξις ἢ διατύπωσις. τέμνεται δὲ εἰς τρία· εἰς ἐπιστολὴν εἰς édicton[22]) εἰς décreton[23]). καὶ ἔστιν ἐπιστολὴ ἀντιγραφὴ βασιλέως[24]) πρὸς

1) κατ' αὐτὸ P. 2) d. R. 3) d. P. 4) δὲ add. P. 5) δέχεσθαι P. 6) τεθεῖσθαι em. R. 7) ἐπεὶ P. R. 8) καὶ τὸ νομοθετηθὲν ἐκ τοῦ ἰδιώτου δήμου πλεβίσκιτον R. cum edd. prior. 9) legis uigorem R. qui et uicem cj. 10) αὐξανομένων F. R. 11) δυσχερῆ F. R. 12) L[1]. P. d. L[2]. F. R. 13) P. d. cet. L[1]. d. L[2]. F. R. τήν. 14) μόνον P. 15) ἐν τοῖς προλαβοῦσι P. 16) καὶ add. P. 17) ἑνὸς add. P. 18) τοῦ ins F. R. 19) β. ἐ. d. P. 20) λέγεται P. 21) d. P. 22) ita L[1]. L[2]. καὶ add. P. 23) καὶ τί ἐστιν ἐπιστολή; ἀντιγραφὴ F. R. 24) ἡ βασιλικὴ P.

a) cf. Gai. 1, 3. b) cf. Pomp. Dig. 1, 2, 2, 9.

tandem persuasos ad amicitiam perduxit. cum igitur in unum uenissent, plebs quidem uolebat ea quae ipsa constituisset in patricios quoque optinere, petebat autem senatus ut senatus consulta in plebem quoque uim haberent. cumque inuicem aduersarentur, et senatus quidem plebi scita agnoscere dedignaretur, plebs autem id aegre ferrens senatus consultis se subicere nollet, discordiae renouatum iri uidebantur, donec idem Hortensius, eorum sedata dissensione, eos persuasit alteros alterorum iura accipere iisque se submittere. et ita quidem nequibat lex appellari quod ab alterutra parte esset constitutum, cum utriusque partis consensu non esset ab initio conditum: cum uero eundem sortiretur effectum, ut scilicet in omnes optineret, legis ordinem habere dictum est. postea uero cum populus romanus in magnam multitudinem auctum esset, ut difficile esset eum in unum locum conuocari, aequum est uisum
6. uice uniuersi populi senatum solum iura condere. 6. De tribus locuti sumus legum latoribus, populo plebe senatu. cumque singulos definierimus, appellationemque iuris a singulis constituti addiderimus, de quarto legum latore dispiciamus. quartus legum lator apud Romanos est Princeps. quid est princeps? princeps est qui imperium a populo accepit; quod uero ipse sancit generali appellatione dicitur constitutio, diuiditur autem in tria, in epistulam, in edictum, in decretum. et quid est epistula? rescriptum principis ad magistra-

ἄρχοντος ἀναφορὰν περί τινος ἀμφιβόλου πράγματος[1]) γινομένη. οἷον συνέβη κατά τινα ἐπαρχίαν τελευτήσαντός τινός, δύο περὶ τῆς ἐκείνου κληρονομίας ἀμφισβητεῖν, ἀδελφὸν καὶ θεῖον. τούτου[2]) ἑκάτερος ἠξίου μόνος[3]) τὸν κλῆρον λαμβάνειν, ὁ μὲν ὡς ἀδελφὸς, ὁ δὲ ὡς θεῖος. νόμου[4]) μὴ κειμένου[5]) ταύτην τέμνοντος τὴν ἀμφιβολίαν ἀναφορὰ γέγονε πρὸς[6]) βασιλέα παρὰ τοῦ τῆς ἐπαρχίας ἄρχοντος. ἀναγνοὺς τὸ ἀνενεχθὲν ὁ βασιλεὺς ἀντέγραψε τὸν ἀδελφὸν τοῦ[7]) τελευτήσαντος προτιμηθῆναι. νομοθετεῖ καὶ ἐν decrétῳ ὁ βασιλεύς. Καὶ τί ἐστι décreton; ἀπόφασις βασιλέως μεταξὺ[8]) δύο μερῶν παρ' αὐτῷ δικαζομένων ἐκφερομένη. οἷον ἐπὶ τοῦ αὐτοῦ θέματος, δύο τινὲς ἐφιλονείκουν περὶ κληρονομίας τελευτήσαντός τινος, ἀδελφός φημι καὶ θεῖος τοῦ κατοιχομένου[9]) περὶ τοῦ τίνα δεῖ εἰς τὴν κλῆσιν προτιμηθῆναι τοῦ κλήρου[10]). ὁ βασιλεὺς[11]) ἀμφοτέρων ἀκροασάμενος ἀπεφήνατο τὸν ἀδελφὸν προτιμηθῆναι. καὶ τοῦτο νόμος ἐστὶ βασιλικός, λέγεται δὲ décreton παρὰ τὸ decernere, ὅ ἐστι θεωρῆσαι. σκοπήσας γὰρ τῇ οἰκείᾳ διανοίᾳ τὸ νομιζόμενον αὐτῷ δίκαιον ἀποφαίνεται[12]). λέγεται δὲ[13]) ὁμωνύμως décreton καὶ ἡ τοῦ ἄρχοντος ἀπόφασις, ἀλλὰ τούτῳ διενηνόχασιν, ὅτι τὸ μὲν τοῦ βασιλεώς décreton καὶ αὐτὴν καὶ ἄλλην τοιουτότροπον ὁτιδήποτε[14]) ἀναφυομένην ὑπόθεσιν ἐκτέμνει,[15]) τὸ δὲ τοῦ ἄρχοντος αὐτήν, ἐσθ' ὅτε δὲ[16]) οὐδ' αὐτήν γε,[17]) ὅτε ἔκκλητος παρακολουθήσῃ. νομοθετεῖ δὲ βασιλεὺς καὶ ἐν edíctῳ[18]). καὶ τί ἐστιν édicton; πᾶν ὅπερ ἐξ οἰκείας φύσεως κινηθεὶς ὁρίσῃ[19]) ὁ βασιλεὺς πρὸς τὴν τῶν ὑπηκόων εὐταξίαν καὶ λυσιτέλειαν. λέγεται δὲ édicton παρὰ τὸ edicere[20]) ὅ ἐστι προλέγειν καὶ προαναστέλλειν τὰ ἐσθ' ὅτε τοῖς ὑπηκόοις συμβησόμενα λυπηρά. πολλάκις γὰρ καθ' ἑαυτὸν ἐλογίσατο[21]) βασιλεὺς ἄτοπον εἶναι

---

1) ἀμφιβολίας πραγμάτων P. 2) γὰρ add. F. R. 3) ἠξιούμενος L^1. L^2. 4) δὲ add. F. οὖν R. 5) ὑποκ. E. 6) τὸν add. P, 7) d. P. 8) d. P. 9) ἀποιχ. P. 10) τῆς κληρονομίας R. εἰς τὴν κληρονομίαν προτιμ. P. 11) L^1. L^2. καὶ ὁ β. F. R. 12) ἀπεφήνατο P. 13) d. P. 14) d. F. 15) d. P. 16) d. P. R. 17) d. L^1. L^2. F. R. 18) νομοθετεῖ καὶ β. ἐν P. ν. δὲ καὶ ἐν ἐδ. ὁ β. R. 19) ὁρίζει F. R. 20) praedicere P. 21) ὁ P. R.

tus relationem de quadam re ambigua factam. ut ecce cum in quadam prouincia esset quis mortuus, duo de eius hereditate contendebant, frater patruusque. horum enim uterque solus heres esse uolebat. cumque lex non esset, qua eiusmodi dirimeretur controuersia, relatio ad principem facta est a prouinciae rectore. quam relationem cum princeps legisset, rescripsit fratrem patruo anteponendum. iura condit princeps etiam decreto. quid est autem decretum? sententia principis inter duas partes apud eum litigantes lata, ueluti in eiusmodi casu. mortuo quodam, duo de eius hereditate contendebant, frater nempe et patruus defuncti, uter scilicet eorum potior in successione esset habendus. princeps cum utrumque audisset, statuit fratrem anteponendum et id quoque principalis constitutio est. dicitur uero decretum a decernendo, i. e. dispicere. cum enim proprio iudicio rem considerauerit, quod sibi iustum uideatur pronuntiat. dicitur similiter decretum et magistratus sententia, set eo differunt quod principis decretum praesentem et ceteras id genus controuersias dirimit, magistratus uero praesentem tantummodo, interdum autem ne praesentem quidem, quotiens nempe appellatio sequatur. per edictum quoque ius constituit princeps. quid est vero edictum? quidquid suapte natura motus princeps definit ad subditorum decus et commodum. dicitur autem edictum ab edicendo, hoc est praedicere atque praeuenire quae subditis uideantur calamitates obuenturae. saepe enim sponte cognouit princeps aliquod absurdi apud subditos suos esse rece-

τὸ παρὰ τῶν ὑποτελῶν αὐτοῦ γινόμενον. οἷον δανείσας τις ρ′ νν⁰ λόγῳ τόκων[1]) ἐπερώτησε δίδοσθαι αὐτῷ καθ' ἕκαστον ἔτος νν⁰. ν′.[2]) ἄτοπον[3]) εἶναι τοῦτο καθ' ἑαυτὸν ἐνθυμηθεὶς ὁ βασιλεὺς καὶ κινηθεὶς κατὰ[4]) τὰ τοιαῦτα πλημμελούντων τίθησι διάταξιν, ὥςτε καθ' ἕκαστον ἔτος ἕνεκα νν⁰ ρ′ δεδανεισμένων[5]) ξ[6]) λόγου χάριν ὑπὲρ τόκου δίδοσθαί νν⁰. τὰ δὲ παρὰ τοῦ βασιλέως νομοθετούμενα ἰσοδυναμεῖν τῷ lex[7]) τῶν ὡμολογημένων ἐστίν. ἀλλ' ἔχει τις εἰπεῖν· διὰ τί τῶν[8]) νομοθετησάντων τὰ senatusconsulta[9]) πολλῶν ὄντων ἡ γνώμη κατὰ τῶν, ἰδιωτῶν οὐκ ἐκράτει, καὶ πάλιν τοῦ χυδαίου πλήθους[10]) ὄντος ἀμέτρου οὐκ ἴσχυον αἱ νομοθεσίαι κατὰ τῶν[11]) συγκλητικῶν, εἰ μὴ Orténsios[12]) τὰ παρ' ἑκατέρου καθ' ἑκατέρου[13]) κρατεῖν ἔπεισε, βασιλεὺς δὲ εἷς ὢν[14]) ἄνθρωπος νομοθετεῖ καὶ οὐδεὶς τοῖς τούτου δόγμασιν ἠναντιοῦται[15]); ἀλλ' ἐροῦμεν ὡς εἴ τις βουληθείη τὴν αἰτίαν γνῶναι τὸν ὅρον ὀφείλει λαβεῖν κατὰ διάνοιαν τὸν τοῦ βασιλέως, ὅτι βασιλεύς ἐστιν ὁ τὸ κράτος τοῦ ἄρχειν παρὰ τοῦ δήμου λαβών.[16]) δῆμος ἐν αὐτῷ[17]) τὴν σύγκλητον ἔχει καὶ τοὺς ἰδιώτας. οὔτε[18]) οὖν τὸ χυδαῖον πλῆθος ταῖς τούτου διατάξεσιν ἠναντιοῦτο, οὔτε ἡ σύγκλητος ταύτας ἀπεδοκίμαζεν. τοῦτο γὰρ πράττοντες ταῖς ἑαυτῶν[19]) ἐμάχοντο ψήφοις. ὁ γὰρ δῆμος τοῦτον ἐχειροτόνησε, νόμου ρεγίου τοῦτο κυρώσαντος, ὃς περὶ βασιλέως τεθεὶς πᾶσαν[20]) βασιλεῖ δέδωκε κατὰ τοῦ δήμου τὴν ἐξουσίαν. τὰ μὲν ὑπ' αὐτοῦ τεθέντα κοινῷ ὀνόματι κέκληται[21]) constitutíones[22]). τούτων δὲ αἱ μὲν εἰσὶ personáliai καὶ οὐδὲ εἰς παράδειγμα ἕλκεσθαι δύνανται[23]) διὰ τὸ μὴ[24]) τοῦτο[25]) βασιλέα βεβουλῆσθαι.

---

1) τόκου R. 2) κατ' ἔτος αὐτῳ νομίσματα η̅ R, qui x̄ cj. set obstat L¹, qui habet πεντήκοντα. 3) οὖν add. P. 4) τῶν add. P. R. 5) δίδοσθαι hic ins. P. 6) νν⁰ hic ins. P. 7) L¹. L². F. νόμῳ 8) d. G. 9) τὸ s—um P. 10) δήμου R. 11) d. G. 12) Orthcιως L¹. ὀρτίσιος L². Ὀρτήσιός τις R. 13) κατ' ἀμφοτέρων τὰ παρ' ἑκατέρων R. τὰ παρ' ἑκατέρου νενομοθετημένα μέρους ἑκατέρων P. 14) d. P. R. 15) ἠναντιοῦτο P. 16) ὁ P. 17) ἑαυτῷ R. 18) ὥςτε P. ὥςτε οὖν οὔτε R. 19) αὐτῶν L¹. 20) ἐξουσίαν β. P. 21) κέκληνται P. R. 22) ἤτοι διατάξεις add. P. — 23) ἕλκονται R. 24) μηδὲ P. 25) τὸν ins. P.

ptum. ut ecce cum quis aureos C mutuos dedisset, usurarum nomine quotannis sibi L dari stipulatus est. cum absurdum id esse apud se conspexisset, in eos qui talia perpetrarent commotus, constitutionem tulit, qua cautum est ne, C aureis mutuo datis, quotannis amplius quam VI aurei feneris nomine peterentur. quod principi placuerit legis uigorem habere non ambigitur. set erit qui dicat: cur senatus consulta quamuis a pluribus lata essent, in plebeios non ualebant, neque plebis, quae innumera est multitudo, scita in patricios optinebant antequam Hortensius utrorumque placita in utrosque uigere persuasisset, princeps autem cum unus sit uir ius condit et nemo est qui eius mandatis aduersari audeat? respondendum est eum qui huius rei causam nosse uelit definitionem principis prae oculis habere oportere, principem scilicet illum esse, qui imperium et potestatem a populo acceperit. populus autem in semet ipso patricios plebeiosque continet; non iure igitur plebs eius constitutionibus aduersaretur, uel senatus easdem respueret. id enim facientes sua ipsi suffragia impugnarent: populus enim eum elegit, lege regia id sanciente, quae de imperio lata omnem principi in populum potestatem concessit. itaque quae ab eo constituuntur communi appellatione constitutiones uocantur. harum autem quaedam sunt personales neque ad exemplum trahi possunt, quoniam non hoc princeps uoluit. nam si cui propter beneficium, quo suam adfecit ci-

ἐὰν γάρ τινι δι' εὐεργεσίαν τὴν ἑαυτοῦ πολιτείαν ὠφελήσαντι[1]) φιλοτιμήσηται[2]), ὅποιον[3]) τὸ[4]) ἐξεῖναι αὐτῷ φόρους δημοσίους μὴ καταβάλλειν καὶ[5]) συμβῇ μετὰ ταῦτα[6]) ἕτερον ὅμοια ἢ καὶ ἴσως μείζονα ὠφελῆσαι τὴν[7]) πολιτείαν, ὁ τοιοῦτος οὐ δυνήσεται ἐξ ἐκείνου τοῦ νόμου περιποιεῖν ἑαυτῷ[8]) παραπλήσια, διὰ τὸ προσώπῳ περικεκλεῖσθαι τὸν νόμον. εἰ δὲ καὶ τιμωρίαν ἐσθότε τινὶ τῶν ἐπταικότων τοῦ δέοντος ἐπήγαγε μείζονα ἢ[9]) καὶ ἡμαρτηκότι πολλάκις συνέγνω τινὶ, οὐ πρὸς μίμησιν τοῦτο πράξας[10]), ἀμέλει τοι οὐδεὶς τῶν μετὰ ταῦτα πεπλημμεληκότων τεύξεται τῆς τοιαύτης φιλανθρωπίας ἢ περαιτέρω τιμωρηθήσεται τοῦ προσήκοντος. μέχρι γὰρ τῶν τετυχηκότων στήσεται ταῦτα. αἱ μὲν οὖν personáliai οὐχ ὑπερβαίνουσι τοὺς ἐφ' ὧν ἐτέθησαν[11]), αἱ δὲ γενικαὶ [καὶ][12]) κατὰ πάντων ἐκτείνονται προσώπων τε καὶ πραγμάτων. 7. Εἰρήκαμεν[13]) τέσ- 7.
σαρας νομοθέτας[14])· δῆμον χυδαῖον δῆμον σύγκλητον βασιλέα. Ἐν πέμπτῃ τάξει νομοθετοῦσι παρὰ ῥωμαίοις οἱ ἄρχοντες[15])· πολλοὶ δὲ οὗτοι καὶ διάφοροι, γενικῷ δὲ πάντες ὀνόματι κέκληνται magistratus populi romani, τουτέστιν οἱ ἄρχοντες τοῦ δήμου τῶν ῥωμαίων[16]). ἐνομοθέτουν δὲ οὗτοι οὐκ ἐν ἐπιστολῇ, οὐκ ἐν decrétῳ ἀλλ' ἐν edíctῳ[17]). καὶ τί τὸ αἴτιον τὸν βασιλέα μὲν καὶ ἐν decrétῳ νομοθετεῖν καὶ ἐν edíctῳ, τοὺς δὲ ἄρχοντας ἐν edíctῳ μόνῳ[18]); ἐντεῦθεν ἡ αἰτία[19])· οἱ πάλαι τὴν ῥωμαικὴν πολιτείαν καταστήσαντες καὶ[20]) ταύτην εὐνομεῖσθαι βουληθέντες ἀνεπίληπτον τὴν οἰκείαν γενέσθαι νομοθεσίαν[21]) ἐσπούδασαν, τούτου δὲ ἐπετύγχανον[22]) βασιλεῖ μὲν καὶ ἐν decrétῳ καὶ ἐν edíctῳ νομοθετεῖν ἐπιτρέψαντες, ἄρχουσι δὲ οὐκέτι.

---

1) P. — εὐεργετήσαντι L1. L2. F. τινα τὴν ἑαυτοῦ πολιτείαν εὐεργ. φιλοτ. R. 2) — ταί τι P. 3) ἐστι P. 4) τῷ R. 5) P. ἐὰν οὖν cett. 6) μετ' αὐτὰ P. 7) ἑαυτοῦ R, qui cj. αὐτοῦ i. e. βασιλέως. 8) τὰ ins. P. 9) d. L1. L2. 10) πέπραχε P. R. 11) ἐτάχθησαν P. 12) ex gem. ortum uidetur. 13) δὲ ins. G. R. 14) — θεσίας. 15) τοῦ δήμου τοῦ ῥωμαϊκοῦ οἵτινες καὶ αὐτοὶ τῇ σέλλῃ τῇ ὑπατικῇ ἤγουν τῷ δίφρῳ ἐκέχρηντο R. cum edd. aut ius. 16) haec expungenda esse cj. R. qui ἄρχ. sine artic.0 habet. 17) μόνον add. R. 18) —ον L2. P. F. R. 19) μάνθανε ἐντ. τὴν αἰτίαν P. ἐνταῦθα ante F. 20) d. P. 21) ν. γ. P. 22) ἔτυχον P.

uitatem, quaedam indulsit, ueluti ne ad uectigalia soluenda teneretur, aliusque postea pari uel etiam maiori benificio ciuitatem adfecerit, non poterit hic ex illa lege similia sibi praetendere, cum lex personam respiciat. ita si cui poenam interdum iusto maiorem inrogaverit, uel si haud raro peccanti pepercerit non ad imitationem id constituens, nemo eorum qui posthac in crimen aliquod inciderint simili fruetur indulgentia aut iusto grauius plectetur. ultra enim eos, qui iis adfecti sunt, haec non extendentur. personales igitur constitutiones personas eorum, pro quibus sunt posita non egrediuntur; ge-
7. nerales autem in omnes res atque personas extenduntur. 7. De quattuor legumlatoribus locuti sumus, populo plebe senatu principe. quinto loco iura constituunt apud Romanos magistratus. plures sunt hi et diuersi: generali nomine omnes magistratus populi romani uocantur. iura autem hi constituebant non per epistulam nec per decretum, set *per edictum*. quaenam autem est ratio cur princeps et per *decretum* et per *edictum* iura condat, magistratus uero *per edictum* tantummodo? hinc ratio est. qui olim romanam condiderunt ciuitatem eamque recte gubernari uoluerunt nihil in legibus relinquere, quod reprehendi posset, studuerunt. quod adsecuti sunt, cum principi per decretum et per edictum iura condere permiserint, magistratibus autem non ita.

ᾔδεισαν γὰρ ὡς ὁ ἄρχων πολλαῖς ὑποψίαις ὑπόκειται, ὅτι φίλοις χαριζόμενος [1]) ἢ δῶρα λαβὼν [2]) ἢ πρὸς ἔχθραν κρίνων ἀπεφήνατο [3]) τοιῶσδε. βασιλεὺς δὲ [4]) τούτων κρείττων οὔτε γὰρ χρυσῷ δελεάζεται ὃς οὐ μόνον τῆς ἡμετέρας περιουσίας ἀλλὰ καὶ αὐτῶν τῶν σωμάτων ἐστὶ κύριος, οὔτε διὰ φιλίαν ὑπερβαίνει τὸ νόμιμον, φιλῶν γὰρ βασιλεὺς ἑτέρως [5]) ὠφελῆσαι δύναται ἐξ ὧν [6]) μᾶλλον εὐδοκιμεῖ, οὔτε δι' ἔχθραν τι ποιεῖ [7]), οὐ γὰρ μισεῖ τινα βασιλεὺς τῶν ὄντων ὑπὸ τὴν αὐτοῦ [8]) πολιτείαν· εἰ δέ τις εὑρεθῇ, τοῖς τελευτῶσι συναριθμηθήσεται [9]). τὸ δὲ ἐν edíctῳ μόνον [10]) νομοθετεῖν τοῖς ἄρχουσιν ἐφεῖται, ἐπειδὴ πρὸ τῶν πραγμάτων τίθεται [11]) καὶ πάσης χείρονος ὑποψίας [12]) ἀπήλλακται. [a]) κατεξαίρετον δὲ τὸ νομοθετεῖν δεδώκασι [13]) τῷ praétori τῷ urbánῳ καὶ τῷ praétori τῷ peregrínῳ καὶ τοῖς aediles curules [14]). καὶ praétωr [15]) urbanòs ὠνόμασται ἐντεῦθεν, praétωr μὲν παρὰ τὸ praeesse [16]), τουτέστι προηγεῖσθαι καὶ ἄρχειν, urbanòs δὲ επειδὴ urbs [17]) κατ' ἐξοχὴν ἡ ῥώμη [18]) λέγεται, [19]) ἐδικαιοδότει γὰρ [20]) τοῖς ἐν ῥώμῃ. praétωr δὲ peregrînos ἐντεῦθεν· praétωr μὲν παρὰ τὸ praeesse, peregrînos δὲ ἐπειδὴ ἐδικαιοδότει [21]) τοῖς ξένοις τε καὶ ἐπήλυσιν. [b]). ἐπειδὴ γὰρ πλήθους ὄντος ἀναριθμήτου οὐκ ἐξήρκει πάντων ἀκροᾶσθαι ὁ praétωr ὁ [22]) urbanòs, ἐπενοήθη [23]) peregrînos ὥςτε δικαιοδοτεῖν τοῖς peregrínois. οἱ δὲ aediles curules καὶ αὐτοὶ ἐνομοθήτουν. ὠνομάσθησαν δὲ οὕτως, ἐπειδὴ φροντὶς αὐτοῖς ἦν ἡ τῶν [24]) ναῶν εὐκοσμία (aedes γὰρ οἱ ναοί, cura δὲ ἡ φροντίς ἦν δὲ αὐτοῖς ἐν ἐπιμελείᾳ ὥςτε μὴ πρὸ τοῦ τεσσαρακοστοῦ τυχὸν ἐνιαυτοῦ ἱεροσύνης ἐπιλαβέσθαι τινὰ·) ἢ μᾶλλον ἐπειδὴ τῆς ἀγορᾶς ἐφρόντιζον οὕτως ὠνομάσθησαν. aediles γὰρ οἱ ἀγορανόμοι.

1) P. ὅτι τε φιλίᾳ cett 2) λαμβάνων P. 3) ἀποφαίνει P. 4) d. P. 5) ἑτέρωθεν P. 6) ὅθεν P. 7) d. L1. L2. F. 8) d. Vi. 9) — μεῖται P. 10) μόνῳ P. R. 11) τιθῶνται L2. F. R, qui tamen de τέθειται seu τίθεται cj. τουτέστι πρὸ τοῦ κινηθῆναι τὰ πράγματα καὶ τὰς ὑποθέσεις gloss. quod ex edd. ant. retinuit R. 12) haec uerba perperam om. F. 13) δεδώκασι δὲ κατεξ. τὸ ν. R. 14) aediles c. L1. L2 ἀεδίλες κορoῦλες P. aedilibus curulibus F. R. 15) μὲν ins. P. 16) πραικέσσαι P. praecedere R. qui cj. praeire. 17) κόσμος P. d. F. 18) urbs ins. F. 19) καὶ P. 20) d. P. 21) διὰ τὸ δικαιοδοτεῖν P. 22) d. P. 23) ὁ πραίτωρ ins. P. ὁ R. 24) d. P.

a) cf. Gai. 1, 6. b) Pomp. D. 1, 2, 2, 28.

sciebant enim magistratum pluribus suspicionibus esse obnoxium, ne amicorum scilicet commodis inseruiens aut munera accipiens aut odio decernens quaedam pronuntiet. princeps autem his suspicionibus superior est. non enim auro corrumpitur, utpote qui non tantum substantiarum nostrarum, set corporum quoque nostrorum dominus sit; neque propter amicitiam iustum transgreditur, utpote qui diligens alio modo benefacere possit, quo magis clarescat; neque propter inimicitiam, non enim quendam subditorum suorum odio princeps habet. nam si quis inueniretur, mortuis connumerandus esset. iura itaque per edictum modo condere magistratibus conceditur: id enim ante res ipsas fertur atque omni caret suspicione. praecipue uero edicere concesserunt praetori urbano et praetori peregrino aedilibusque curulibus. praetor autem urbanus inde sumit appellationem; praetor a praeesse, id est anteire atque imperare, urbanus autem quia Roma *κατ' ἐξοχὴν* urbs uocatur: ciuibus enim romanis ius dicebat. alter uero uocabatur praetor quidem a praeesse, peregrinus autem cum peregrinis et aduenis ius diceret. innumera enim cum esset multitudo non poterat omnium controuersias praetor urbanus audire; creatus
8. est igitur praetor peregrinus ut peregrinis ius diceret. 8. Aediles quoque curules ius constituebant. inde autem nomen sumpserunt, quod curae erat eis templorum decus (aedes enim templa sunt, cura autem sollertia: ad eorum enim sollicitudinem pertinebat ne quis ante quadragensimum forte annum sacerdotium caperet), uel potius quia fori curam agebant ita sunt uocati. aediles enim latine audiunt qui apud graecos *ἀγορανόμοι* uo-

ἢ τὸ πάντων ἀληθέστατον[1]) ἐν τῷ καιρῷ τῆς διαστάσεως ὥςπερ παρὰ τοῖς συγκλητικοῖς ἦν ὁ ὕπατος δικαιοδοτῶν, καὶ τέμνων τὰς δίκας, οὕτω καὶ παρὰ τοῖς ἰδιώταις προὐβλήθη τις ὃν ἔδει δέχεσθαι τὰς προσελεύσεις τῶν δεομένων τινὸς βοηθείας, ὃς ἀπὸ τῆς προσελεύσεως[2]) adíles ὠνομάσθη ἀπὸ τοῦ adire[3])· εἶτα διὰ τὴν εὐφωνίαν προσετέθη τὸ ε στοιχεῖον καὶ γέγονεν aediles. curules δὲ διὰ τοῦτο, ἐπειδὴ ἐκέχρηντο τῇ séllῃ[4]) τῇ ὑπατικῇ.[5]) τὰ δὲ τούτων édicta[a]) ἐκράτει καὶ ἐν ταῖς ἐπαρχίαις. ἐλέγετο δὲ ἡ τοιαύτη νομοθεσία iurishonorárion[6]), ἐπειδὴ πρὸς[7]) τιμὴν τῶν ἀρχόντων τεθέντα[8]) ἐκράτει ταῦτα[9]) καὶ ἐπολιτεύετο. καὶ οἱ aediles οὖν ἐνομοθέτουν περί τινων κεφαλαίων καὶ τὸ τούτων édicton μέρος γέγονεν ἤτοι συνήφθη τῷ edíctῳ τῶν δύο praetórων urbanû καὶ peregrínu. 9. Ἐν 9
ἕκτῃ τάξει νομοθετοῦσιν οἱ σοφοί. σοφοὺς δὲ λέγω οἷς τὸ νομοθετεῖν ἢ[10]) δῆμος ἢ σύγκλητος ἢ βασιλεὺς ἐπέτρεψε, τὸ δὲ παρ' αὐτοῖς νομοθετούμενον γενικῷ ὀνόματι κέκληται responsa[11]) prudentium, τουτέστιν αἱ ἀποκρίσεις τῶν σοφῶν[12]), ἐπειδὴ κατὰ πεῦσιν καὶ ἀπόκρισιν ἐνομοθέτουν. τὸ résponson δὲ τέμνεται εἰς δύο, εἰς sententían καὶ opiníona[13]). καὶ τί ἐστι sententía; ἡ αὐτοτελὴς καὶ ἀναμφίβολος ἀπόκρισις οἷον ἔξεστι τόδε ποιεῖν[14])· οὐκ ἔξεστι τόδε ποιεῖν. opiníων[15]) δὲ ἡ ὑπεσταλμένη καὶ μετὰ ἐνδοιασμοῦ[16]) προσφερομένη ἀπόκρισις· οἷον νομίζω ὅτι[17]) ἔξεστι τόδε ποιεῖν· νομίζω ὅτι οὐκ ἔξεστι τόδε ποιεῖν. ἐπιτέτραπται δὲ τούτοις δημοσίᾳ νομοθετεῖν ἤτοι τοὺς νόμους ἑρμηνεύειν οἵτινες καὶ[18]) iurisconsulti προσηγορεύθησαν[19]), τουτέστιν οἱ περὶ τοὺς νόμους ἐπερωτώμενοι. consúlere γάρ[20])

---

1) ἀληθέστερον P. 2) διὰ τὴν πρ—ιν P. καὶ ἀπὸ τῆς F. R. 3) ἀπὸ τῆς ἀδιλίας ὅ ἐστι προσέλευσις R. qui de glossem. suspicatur. 4) selli L^2. σέλλῃ cet. 5) καὶ ἐλ. P. 6) L^1. L^2. iuris ὀνοραριουμ P. ius λ. F. R. 7) εἰς R. 8) τῶν τεθέντων P. τιθέντων em. R. 9) τε P. 10) ὁ P. 11) ῥεσπόνσον F. responsum R. 12) P. cett. ἡ ἀπόκρισις 13) sententiam καὶ opinionem F. 14) οὐκ add. P. 15) L^1. L^2. ὀπηνίων P. opinio edd. 16) ἐνδυασμοῦ L^1. L^2. 17) d. L^1. L^2. 18) di. R. 19) προσηγορεύοντο F. 20) δὲ R.

a) cf. Gai. 1, 6.

cantur: uel quod omnium uerissimum, quia in tempore dissensionis sicuti apud patricios consul erat qui ius diceret et controuersias dirimeret, ita apud plebeios quoque quidam est creatus, qui ab iis adiretur, qui ope aliqua egerent. et ab aditione adilis est uocatus, idest ab adeundo. postea propter molliorem sonum e littera addita est, et factum est »aedilis«. curules autem ideo, quia consulari sella uterentur. horum autem edicta in prouinciis quoque proponebantur, et uocabatur eorum ius honorarium, cum in illius magistratus honorem, qui proposuisset, optineret atque receptum esset. et aediles igitur de quibusdam casibus ius constituebant, eorumque edictum pars edicti utriusque praetoris urbani et
9. peregrini factum est, eique adhaesit. 9. Sexto loco ius condunt prudentes. prudentes autem eos uoco, quibus ius condere aut populus aut senatus aut princeps concesserit. quod autem ab eis ius constituitur generali appellatione »responsum prudentium« uocatum est, cum per consultum et responsum iura conderent. porro responsum diuiditur in sententiam et opinionem. et quid est sententia? plena atque certa responsio, ueluti: licet id facere, non licet id facere. opinio uero est suspensa ac dubitanter prolata responsio, ueluti: puto id fieri posse, puto id fieri non posse. permittebatur autem eis publice respondere, idest leges interpretari; et iurisconsulti appellabantur, idest qui de iure consulerentur. consulere enim est interrogare. quorum sententiae

ἐστι τὸ ἐρωτᾶν.[1] *αὗται δὲ αἱ* sententíai *καὶ*[2]) opiníones *ταύτην ἔσχον τὴν αὐθεντίαν ὥςτε μὴ ἔχειν παρρησίαν δικαστὴν ταῖς αὐτῶν*[3] *ἀπειθεῖν ἀποκρίσεσιν, ὥςπερ καὶ βασιλέως βοᾷ διάταξις*[4]. *καὶ ἐν τούτοις μέν ἐστι ἡ ἔγγραφος νομοθεσία ἐν τοῖς ὑπὸ τοῦ*[5] *δήμου τεθεῖσιν ἢ χυδαίου δήμου*[6] *ἢ συγκλήτου ἢ βασιλέως ἢ ἀρχόντων τῆς ῥώμης ἢ τῆς τῶν σοφῶν ἀποκρίσεως.* 10. *Ἄγραφος δὲ νόμος ἐστὶν ὅπερ*[7] *ἡ χρονία συνήθεια* 10. *συναινέσει τῶν χρωμένων ἐβεβαίωσε καὶ εἰς μίμησιν ἀνήγαγε τοῦ ἐγγράφου νόμου.* [a] 11. *Ἀνεπιλήπως οὖν εἴποι*[8] *τις*[9] *εἰς* 11. *δύο εἴδη ταῦτα*[10] *τὴν πολιτικὴν διαιρεῖσθαι νομοθεσίαν· εἰς ἔγγραφον νόμον καὶ ἄγραφον. ἡ δὲ τούτων ἀρχαιογονία ἐκ διδασκαλίας τῶν δύο πόλεων ἀθηνῶν φημι καὶ λακεδαίμονος καταρρυῆναι δοκεῖ. ἐν γὰρ ταύταις ταῖς πόλεσιν εἰώθει πράττεσθαι ταῦτα καὶ κρατεῖν, ὥςτε λακεδαιμονίους μὲν μνήμῃ τοὺς οἰκείους νόμους διαφυλάττειν, ἀθηναίους δὲ ἐκείνους τιμᾶν ὅσους ἐν γράμμασιν ἴσασιν ὄντας καὶ τούτους φυλάττειν.* 12. *ἀλλὰ* 12. *τὰ μὲν* iurisgéntia[11] *παρὰ πᾶσιν ἔθνεσι πολιτεύεται ἐκ θειοτέρας εὑρεθέντα προνοίας, ὅθεν τὸ βέβαιον καὶ ἀμετακίνητον ἔχει. ὅσα δέ ἐστιν* iurisciuília[12] *τουτέστιν ἅπερ ἑκάστη πόλις ἐνομοθέτησεν ἑαυτῇ ἀμείβεσθαι πολλάκις εἴωθεν ἢ σιωπηρᾷ τοῦ δήμου συναινέσει ἢ δευτέρου νόμου θέσει.*

De iure personarum. Titulus 3.[13]

Εἰπόντες τί ἐστι δικαιοσύνη,[14] *καὶ τὴν γενικὴν διεξελθόν-*

---

1) *ὅπερ* P. 2) *αἱ* add. P. 3) *τοιαύταις* P. 4) *δ. β.* F. 5) d. P. 6) *δ. χ.* P. 7) *ὃν* P. 8) *εἴπῃ* P. 9) *ὅτι* add. P. 10) *ταύτην* P. R. 11) L^{1}. L^{2}. *ἰουρισγέντια* P. iuris gentium F. R. 12) L^{1}. L^{2}. *ἰουρισκιβιλες* P. iura ciuilia F. ius ciuile R. 13) *περὶ νόμου προσωπικοῦ* P, quae cett. addunt. Hic titulus ut III (non II) libri I citatur in schol. 16 tit. I Epit. — 14) *ὅτι δικαιοσύνη ἐστὶ σταθηρὰ καὶ διηνεκὴς βούλησις ἑκάστῳ τὸ ἴδιον ἀπονέμουσα δίκαιον* P ius.

a) Epi. 2, 23.

et opiniones talem prae se ferunt auctoritatem, ut iudici non li-
ceat ab eorum responsis recedere, sicuti et principali consti-
tutione cauetur. et in his quidem scriptum ius consistit, quae
a populo constituuntur uel a plebe uel a senatu uel a prin-
cipe uel a magistratibus romanis nec non quae a prudentibus
10. respondentur. 10. Ius autem non scriptum est quod diuturni
mores consensu utentium comprobarunt atque in imitationem
11. iuris scripti redegerunt. 11. Merito ergo quis dixerit in has
duas species ius ciuile deduci, in ius scriptum et non scrip-
tum. quorum origo ex duarum institutis ciuitatium, Athena-
rum scilicet et Lacedaemonis fluxisse uidetur. in his enim
ciuitatibus id agi solitum erat atque optinere, ut Lacedaemo-
nii quidem memoriae suas leges mandarent, Athenienses autem
ea, quae in litteris scripta nossent, colerent eaque custodi-
12. rent. 12. Set iura gentium apud omnes populos peraeque
custodiuntur diuina quadam prouidentia constituta, unde firma
et immutabilia sunt. quae autem iura ciuilia singula ciuitas
sibi constituit, mutari saepe solent uel tacito consensu populi
uel alia lege lata.

De iure personarum.[1] Titulus 3.

Cum iustitiam definierimus, iurisque generalem diuisionem

1) Kruegerus proeemium huius tituli praecedenti attribuit: set Thus ei potissimum refragatur, qui sollemni modo hunc incipit titulum, nec prorsus solet tali modo titulum absoluere.

τες τῶν νόμων διαίρεσιν, μαθόντες δὲ καὶ πόσοι τῶν παλαιῶν[1]) ἐνομοθέτουν καὶ πῶς τὸ παρ' ἑκάστῳ νομοθετούμενον κέκληται καὶ ὅτι τῶν νόμων οἱ μεν ἔγγραφοι οἱ δὲ ἄγραφοι, μετέλθωμεν ἐφ' ἕτερον καὶ μάθωμεν περὶ πόσα ἡ τῶν ῥωμαίων καταγίνεται νομοθεσία. περὶ τρία τοίνυν ταῦτα[2]) καταγίνεται· περὶ πρόσωπα περὶ πράγματα[3]) περὶ ἀγωγάς. καὶ a) περὶ πρόσωπα μὲν, ὅταν εἴπωμεν, ὁ δεῖνα συγκλητικός ἐστι ἢ ἰδιώτης[4])· περὶ πράγματα[5]) ἡνίκα ζητοῦμεν πότερον ἔρρωται ἡ γινομένη ὑπό τινος[6]) διαθήκη ἢ ἄχρηστός ἐστιν· περὶ ἀγωγὰς ἡνίκα ἀμφισβητεῖται πότερον τῷδε πρόσεστιν ἀγωγὴ ἢ οὐ πρόσεστιν. καὶ δεῖ κατὰ πρώτην τάξιν περὶ προσώπων διαλεχθῆναι, εἶτα περὶ πραγμάτων καὶ μετὰ ταῦτα διδάξαι περὶ ἀγωγῶν. σύμβαίνει δὲ τῷ καλῶς ἔχοντι ἡ τοιαύτη τάξις. προσώπων μὲν γὰρ ὑποκειμένων, ἀναφύεσθαι πράγματα τῶν ὡμολογημένων ἐστὶν, ὑπόντων δὲ πραγμάτων καὶ περὶ ἀγωγῶν ἀνάγκη ζητεῖν. δεῖ οὖν περὶ προσώπων εἰπεῖν, εὐτελὴς γὰρ καὶ ἀνώνητος ἡ τῶν νόμων κατάληψις εἴγε τὰ πρόσωπα παρ' ἡμῖν ἀγνοεῖται ὧν χάριν ἐπινενόηνται νόμοι. b) ἡ τοίνυν τῶν πρόσωπων ἄκρα διαίρεσις ἐστιν αὕτη, ὅτι τῶν ἀνθρώπων οἱ μέν εἰσι ἐλεύθεροι, οἱ δὲ δοῦλοι, καὶ τὴν μὲν ἐλευθερίαν ἐξ ἧς ἡ τῶν ἐλευθέρων ἐπινενόηται προσηγορία οὕτως ὁρίζεσθαι χρή· c) ἐλευθερία ἐστιν εὐχέρεια φυσικὴ ἑκάστῳ συγχωροῦσα πράττειν ἃ βούλεται εἰ μὴ νόμος ἢ βία κωλύει· βία μὲν ἐπειδὴ βουλόμενον ἐσθ' ὅτε μέ τι πρᾶξαι[7]), ὃ τοῖς νόμοις οὐκ ἀπηγόρευται, διακωλύει τις ἰσχύει μείζονι βιασάμενος. νόμος δὲ, ὅτι τιμωριῶν ἀπειλαῖς εἴργομαι πράττειν ἃ βούλομαι. οἰκέτῃ[8]) γὰρ ποιεῖν τι κατὰ γνώμην καὶ δεσπότου[9]) δέος ἐμποδίζει. Δουλεία δέ[10]) ἐστιν ἐθνικοῦ νομίμου διατύπωσις ἐξ ἧς τις ὑποβάλλεται τῇ ἑτέρου δεσποτείᾳ ὑπεναντίον[11]) τοῦ φυσικοῦ νομίμου[12]). ἡ γὰρ φύσις

1) τὸ παλαιὸν F. R. 2) de P. F. R. γίνεται edd. ante F. 3) καὶ P. 4) L^1. L^2. F. R. Epi. —τικὸς P. 5) δὲ ins Epi. 6) ὑπό τινος γίνομ. P. 7) πρᾶξαί τι P. 8) l. οἰκέτην· οὐκέτι Epa. Proch. et Zach. ibid. 192 n. 2 Harm. 9) τὸ P. 10) de Epa. 11) L^1. L^2. P. Epa. Proch. ἀπεναντίας F. ἀπεναντίον R. 12) νόμου P. Epi., quae ad. διατύπωσις.

a) haec sunt in Epit. I sch. 16. b) haec habet Epan. 37, 1—4 Proch. 24, 1—3. c) haec et sq. habet Epi. 38, 1 sq.

exposuerimus, et didicerimus quinam olim iura conderent, et quomodo singulorum iura appellarentur, nec non legum quasdam scriptas quasdam non scriptas esse, ad aliud argumentum ueniamus, ac dispiciamus circa quot ius romanum uersetur. circa tria autem uersatur, circa personas circa res circa actiones. et circa personas quidem ueluti cum dicimus: *ille senator est aut plebeius.* circa res, cum quaerimus utrum ratum sit testamentum ab aliquo conditum necne. circa actiones autem quotiens ambigitur utrum competat actio necne. et dicendum est primum de personis, deinde de rebus, demum uero de actionibus disserendum. aptus autem eiusmodi ordo uidetur; ubi enim sunt personae, negotia oriri palam est, quibus ortis et de actionibus quaerendum est. oportet igitur de personis loqui: parum enim est atque inutile iura nosse, si personae a nobis ignorentur, quarum causa ius statutum est.

Summa itaque diuisio personarum haec est quod homi-
1. num quidam liberi, quidam serui sunt.

1. Et libertas quidem, ex qua liberorum appellatio orta est, ita est definienda: libertas est naturalis facultas cuique concedens quae libeat facere, nisi ius aut uis prohibeat. uolentem enim aliquid agere, quod iure non uetetur, prohibet me quidam interdum ui potiore impediens. iure uero, cum poenarum minis retineor quin id faciam, quod cuperem. ser-
2. uus autem etiam domini timore impeditur aliquid ex sua sententia facere. 2. Seruitus autem est constitutio iuris gentium, qua quis dominio alieno subicitur contra ius naturale. natura enim omnes liberos genuit, bellorum autem in-

πάντας[1]) ἐλευθέρους προήγαγεν, ἡ δὲ τῶν πολέμων[2]) ἐπίνοια
τὴν δουλείαν ἐφεῦρεν. ὁ γὰρ τοῦ πολέμου νόμος κτῆμα τῶν
κρατούντων θέλει τοὺς νενικημένους εἶναι. 3. οἱ δὲ δοῦλοι[3]) 3.
λέγονται séruoi[4]) ἐντεῦθεν προσαγορευθέντες ἐπειδήπερ οἱ τῶν
πολέμων ἡγεμόνες τοὺς αἰχμαλώτους οὓς ἐβούλοντο πιπράσκε-
σθαι ἐφύλαττον καὶ ἀναιρεῖσθαι διεκώλυον[5]). ἀπὸ οὖν τοῦ
seruare, ὅ ἐστι φυλάττειν, ὠνομάσθησαν serui οἵτινες καὶ man-
cipia προσαγορεύονται, quia manu capiuntur, ἐπειδὴ ὑπὸ[6])
τῶν πολεμίων χειρὶ λαμβάνονται. 4. a) Οἱ δὲ[7]) δοῦλοι ἢ τί- 4.
κτονται ἢ γίνονται. τίκτονται[8]) οἱ ἐκ τῶν ἡμετέρων ἡμῖν προς-
γινόμενοι θεραπαινῶν[9]), γίνονται δὲ οἱ ἐκ τῶν ἐθνικῶν νόμων[10])
τουτέστιν ἐκ τῆς αἰχμαλωσίας, ἢ νόμῳ πολιτικῷ, οἷον ἡνίκα τις
ἐλεύθερος ὢν καὶ μείζων ὢν τῶν εἴκοσι ἐτῶν ad pretium
participandum[11]) ἑαυτὸν ἠνέσχετο πραθῆναι. ἔσθ' ὅτε γὰρ
διαλέγομαί τινι ὥςτε με πωλῆσαι νομισμάτων λόγου χάριν
εἴκοσι καὶ ἀποκερδαίνειν μὲν αὐτὸν ε̄, ἐμοὶ δὲ παρασχεῖν ιε̄. ὁ
γὰρ τοιοῦτος ἐκ τῆς ἰδικῆς τῶν ῥωμαίων νομοθεσίας ἀφαίρεσιν
ὑφίσταται τῆς ἐλευθερίας, ἣν ὕβρισεν ἀνάξιον ἑαυτὸν ταύτης
ἀποδείξας. καὶ τὴν ἐκεῖθεν αὐτῷ προσοῦσαν παρρησίαν προ-
δοὺς, εὐτελοῦς χρυσίου λήψει. 5. b) Καὶ ἡ μὲν τῶν δούλων 5.
τύχη οὐδεμίαν ἐπιδέχεται διαίρεσιν, οὐ γάρ ἐστιν εἰπεῖν ἐπ'
αὐτῶν ἧττον δοῦλον ἢ μᾶλλον δοῦλον[12]). ἔστιν οὖν ἄτομον[13])
ἡ δουλεία· ἐπὶ δὲ τῶν ἐλευθέρων πολλὰς εὑρίσκομεν διαφορὰς,
ἢ γὰρ εὐγενεῖς εἰσιν ἢ ἀπελεύθεροι[14]).

---

1) ἀνθρώπους add. Epi. 2) —μίων Epi. 3) καὶ οἱ δοῦλοι R. 4) de. F. 5) ἐκώλυον P. 6) ἀπὸ L[2]. P. R. 7) de. Epa. 8) μὲν P. Epa. 9) οἱ ἐκ θεραπόντων φύντες Epa. 10) νομίμων P. F. R. 11) τουτέστιν P. 12) μᾶλλον ἢ ἧττον δοῦλον Epa. 13) —μος P. Epa. 14) ἢ ἐξ ἀπελευθέρων καὶ ἄλλη δέ τις ἐστὶν ἐν τῷ ὀνόματι διαφορά. add. Epa.

a) haec sunt. in Epa. 37, 3. Proch. 24, 2. b) Epa. 37, 4. Proch. 24, 3.

uentio seruitutem introduxit. ius enim belli in potestatem uicto-
3. rum uictos tradit. 3. Serui autem ex eo sunt appellati, quod
imperatores captiuos quos uendere uellent seruabant neque
occidi sinebant. a seruando igitur serui sunt appellati,
qui etiam mancipia dicti sunt quia [ab hostibus] manu ca-
4. piuntur. 4. Serui autem aut nascuntur aut fiunt. nascun-
tur qui ex nostris gignuntur ancillis, fiunt iure gentium, id-
est ex captiuitate, aut iure ciuili, cum homo liber maior
XXV annorum ad pretium participandum sese uenire patia-
tur. ueluti si cuidam suadeam ut me XX aureis, uerbi gra-
tia uendat, et ipse quidem V lucro habeat, mihi autem XV
praebeat. qui enim id faciat proprio romanorum iure liber-
tatem amittit, quam ignominia adfecit, ea sese indignum
ostendens et facultatem inde sibi competentem abiciens, uili
5. accepto auro. 5. Et seruorum quidem condicio nullam re-
cipit diuisionem, non enim de eis dici potest »minus plusue
seruus«. est igitur indiuidua seruitus. in liberis contra
plures differentias deprehendimus; aut enim ingenui sunt aut
libertini.

De ingenuis. Titulus 4.[1])

a) *Εἰρήκαμεν τὸν ἐλεύθερον εἰς δύο διαιρεῖσθαι, εἰς εὐγενεῖς καὶ ἀπελευθέρους.*[2]) *καὶ εὐγενής ἐστιν ὁ εὐθέως ἅμα τῷ τεχθῆναι ἐλεύθερος ὢν καὶ μήποτε τοῦ ζυγοῦ τῆς δουλείας γευσάμενος, εἴτε ἐκ συνοικεσίου δύο εὐγενῶν ἐτέχθη*[3]) *εἴτε ἐκ δύο ἀπελευθέρων. εἰ δὲ καί τις ἐξ ἐλευθέρας*[4]) *τεχθῇ μητρὸς, δούλου δὲ πατρὸς εὐγενὴς [μὲν] ὁμοίως ἔσται, ὥςπερ ὁ ἐξ ἐλευθέρας μητρὸς καὶ ἀδήλου*[5]) *πατρὸς, τουτέστιν ἀπὸ πορνείας, τεχθεὶς*[6]). *οὐδὲ γὰρ βλάπτει τὴν τοῦ παιδὸς εὐγένειαν τὸ ἐκ πορνείας γενέσθαι τὴν σύλληψιν, ἀρκεῖ δὲ ἐλευθέραν εἶναι τὴν μητέρα*[7]) *κατὰ τὸν χρόνον τοῦ τοκετοῦ, εἰ καὶ ὁ τῆς συλλήψεως καιρὸς εἶδεν αὐτὴν δούλην. καὶ ἐκ τοῦ ἐναντίου εἰ ἐλευθέρα*[8]) *συλλάβῃ, καταδουλωθεῖσα δὲ ἐπειδὴ ἠνέσχετο ἑαυτὴν πραθῆναι*[9]) ad pretium participandum *τέκῃ, ἐλεύθερον τὸ τεχθέν. ὁ γὰρ κυοφορούμενος οὐ βλαβήσεται ἐκ τῆς συμφορᾶς τῆς περιστάσης τὴν μητέρα*[10]). *Ἐπειδὴ δὲ εἰρήκαμεν ἀρκεῖν πρὸς ἐλευθερίαν τῷ παιδὶ τὸ ἐλευθέραν ἐν τῷ τίκτειν τὴν μητέρα εἶναι*[11]) *καὶ ὅτι ἐὰν γένηται σύλληψις ἐν ἐλευθερίᾳ τοκετὸς δὲ ἐν δουλείᾳ, ἐλεύθερος ὁ τικτόμενος ἐντεῦθεν*, b) *ὅρα οἷον ἐζητήθη. Δούλη τις*[12]) *οὖσα κατὰ τὸν καιρὸν ὃν συνέλαβε τῆς δουλείας ἠλευθερώθη· ὀλίγου*[13]) *χρόνου παραδραμόντος, κατεδουλώθη·*[14]) *τέτοχε μετὰ τὴν καταδούλωσιν, πότερον ἐλεύθερον ἢ δοῦλον σκοπήσωμεν τὸ τικτόμενον· καί φησιν*[15]) *[ὁ Μάρκελλος] ἐλεύ-*

---

1) *Περὶ εὐγενείας* add. lib. et edd. omnes. 2) *οἱ ἐλεύθεροι εἰς δύο τὰ πρῶτα διαιροῦνται εἰς εὐγενεῖς καὶ ἀπελευθέρους* Epa. — *τοὺς ἐλευθέρους* cj. R. — 3) *τεχθῇ* Epa. 4) *ἀπελ.* P. 5) *ἀδήλου δέ* P. 6) d. R.: *ἀπὸ κρυφίας γονῆς* Epa. haec d. Epi. 7) *γυναῖκα* P. 8) *μὲν* add. Epa. 9) de P. aliter edd. ante F. et F1.: Epa. *ἐξ οἰκείας διαπράσεως ἐπὶ τὸ κερδῆσαι τὴν ἰδίαν τιμὴν ἢ κατὰ τὸ ὅλον ἢ κατὰ τὸ ἥμισυ, τέκῃ δὲ μετὰ τὴν διάπρασιν, ἔσται ἐλεύθερον* cett. 10) *περὶ τὴν μητέρα συμβάσης συμφ.* P. — 11) *εἶν. τ. μ.* P. F. A. 12) *ἐάν τις δούλη* Epa. 13) *δὲ* ins. Epa. 14) *εἶτα* Epa. 15) *φαμεν* R. *ὁ Μαρκιανὸς* F. *κελεύομεν ἐλ. εἶναι τὸ τικτ.* Epa.

a) Epa. 37, 5. Proch. 24, 7 adde Epi. 38, 3. b) Epi. 38, 6.

De ingenuis. Titulus 4.

Lex quidem Aelia Sentia minori XX annis seruum suum manumittere non permittebat. erat alia quoque lex, quae de manumissionibus tractabat, quae certum modum seruorum manu mittendorum in testamento constituebat. hanc uero legem piissimus princeps noster, utpote libertati contrariam, eiusque dationi quodammodo inuidam sua constitutione sustulit. inhumanum enim esse censuit uiuos quidem licentiam habere omnes seruos suos manumittendi, nisi quae causa impediat libertatem, ueluti si manumissor annis XX minor sit, uel si in fraudem creditorum detur libertas; morientibus autem non concedi seruos suos sine impedimento manumittere.

De iis qui sui uel alieni iuris sunt.[1] Titulus 8.

Πεπλήρωται ἡμῖν ἡ πρώτη τῶν προσώπων διαίρεσις, ἐν ᾗ εἴρηται ὅτι τῶν ἀνθρώπων οἱ μέν εἰσιν ἐλεύθεροι, οἱ δὲ δοῦλοι, καὶ ὅτι ἡ[2] *δουλεία ἄτομόν τι ἐστιν, ἡ δὲ ἐλευθερία διαιρεῖται εἰς δύο. τῶν γὰρ ἐλευθέρων οἱ μὲν*[3] *εὐγενεῖς, οἱ δὲ ἀπελεύθεροι. καὶ ἡ μὲν εὐγένεια ἄτομος, ἡ δὲ ἀπελευθερότης πάλαι διῃρεῖτο εἰς τρία. τῶν γὰρ ἀπελευθέρων οἱ μὲν ἐγίνοντο πολῖται ῥωμαῖοι, οἱ δὲ* latînoi iunianoì, *οἱ δὲ* deditícioi. *προσεθήκαμεν δὲ ὅτι τὴν αἵρεσιν τῶν* dediticiων *καὶ* latínων *ἀνεῖλε διαφόροις διατάξεσιν ὁ εὐσεβέστατος ἡμῶν βασιλεὺς*[4]*, ὥστε λοιπὸν καὶ τὴν ἀπελευθερότητα εἶναι μονοειδῆ καθάπερ ἐστὶν ἡ εὐγένεια. λεγέσθω δὲ καὶ δευτέρα τῶν προσώπων διαίρεσις. τῶν γὰρ ἀνθρώπων οἱ μέν εἰσιν ὑπεξούσιοι, οἱ δ' αὐτεξούσιοι*[5]*, τουτέστιν οἱ μὲν ἰδίου δικαίου, οἱ δὲ ἀλλοτρίου.*[6] *μάθωμεν οὖν πρότερον περὶ τῶν ὑπεξουσίων· ἐντεῦθεν γὰρ ἡμῖν*[7] *ἡ γνῶσις καὶ*[8] *περὶ τῶν αὐτεξουσίων γενήσεται. ὅσοι γὰρ μὴ ἐν τούτοις πρόδηλον ὅτι ἐν τοῖς αὐτεξουσίοις εἰσίν. ἡ δὲ ὑπεξουσιότης λέγεται* potestas. *ταύτην δὲ ἔχομεν ἢ κατὰ τῶν ἡμετέρων οἰκετῶν ἢ κατὰ τῶν ἡμετέρων παίδων.*

1. *Καὶ πρότερον σκοπήσωμεν*[9] *περὶ τῶν ὄντων* in potestate *τῶν οἰκείων δεσποτῶν. ἔστι δὲ* potestas *ἡ ἄκρα ἐξουσία. αὕτη δὲ ἡ κατὰ τῶν οἰκετῶν ὑπεξουσιότης* iurisgentía[10] *ἐστιν. οὐ μόνον γὰρ παρὰ ῥωμαίοις τοῦτο πολιτεύεται, ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις ἔθνεσι καὶ οὕτως ἐστὶ μεγίστη αὕτη ἡ ὑπεξουσιότης, ὅτι* uitae necisque potestatem *εἴχομεν κατὰ αὐτῶν, τουτέστι ζωῆς καὶ θανάτου ἐξουσίαν, καὶ ἐξῆν ἡμῖν*[11] *ἀκινδύνως τούτους ἀποσφάττειν. καὶ ὁπερδήποτε διὰ τῶν οἰκε-* 1.

---

1) *Περὶ τῶν τοῦ ἰδίου ἢ ἀλλοτρίου δικαίου ὄντων* add. libri, inter quos L 1. L 2. alii '*τίνες ἰδίου ἢ ἀλλοτρίου δικαίου εἰσίν*'. Hos secutus est Vi. R. 2) *μὲν* add. R. 3) *εἰσὶν* R. 4) *ὁ εὐσεβ. ἡμ. β. ἀν. διαφ. διατ.* R. 5) sui iuris *τουτέστιν ἰδίου δικαίου* L 2. 6) P. cet. add. '*δικαίου*'. 7) *ἡμῶν* P. 8) *ἡ* P. 9) *—σώμεθα* P. F. R. 10) iuris gentium R. 11) *ἡμᾶς* Vi. R.

De his qui sui uel alieni iuris sunt. Titulus 8.

Iam plene de prima personarum diuisione tractauimus, in qua dictum est hominum quosdam liberos esse, quosdam seruos: seruitutem autem indiuiduam esse, cum libertas in duas species deducatur. liberorum enim quidam ingenui sunt, quidam libertini: et ingenuitas quidem indiuidua est, libertorum autem condicio olim in tria genera deducebatur, quia libertorum quidam ciues romani fiebant, alii latini iuniani, alii demum dediticii. addidimus quoque dediticiorum latinorumque condicionem pluribus constitutionibus piissimum principem nostrum sustulisse, ita ut deinceps unum esset libertorum genus sicut et ingenuorum. nunc de altera personarum diuisione dispiciamus. hominum enim quidam in potestate sunt aliorum, quidam nullius, idest quidam sui iuris sunt, quidam alieni. uideamus igitur prius de iis, qui alieno iuri subiecti sint, inde enim intellegemus, quinam sui iuris sint. quicumque enim in illis non recensentur patet esse sui iuris. potestatem autem, quam graeci ὑπεξουσιότητα uocant,
1. in seruos nostros aut in liberos nostros habemus. 1. Ac prius dispiciamus de iis qui in dominorum suorum potestate sunt. potestas quam in seruos habemus iuris gentium est. non tantum enim apud Romanos usu uenit, set etiam apud alias gentes: et adeo magna haec potestas erat, ut uitae necisque potestatem in eos haberemus, liceretque nobis impune eos interficere. et quodcumque per seruos adquiritur, id

2. *τῶν προςπορίζεται, τοῦτο τῷ δεσπότῃ προσγίνεται.* 2. *Σήμερον δὲ οὐδενὶ*[1]) *ἀνθρώπων ὑπὸ τὴν ῥωμαϊκὴν τελοῦντι βασιλείαν*[2]) *ἔξεστι δίχα αἰτίας νόμοις ἐγνωσμένης ἀναιρεῖν τὸν ἴδιον*[3]) *οἰκέτην, ἀλλ' οὐδὲ ἀμέτρως κατ' αὐτοῦ χαλεπαίνειν. διάταξις γὰρ Ἀντωνίνου τοῦ βασιλέως ὥρισε τὸν δίχα αἰτίας εὐλόγου τὸν ἴδιον οἰκέτην ἀναιροῦντα οὕτω τιμωρεῖσθαι ὥςπερ ὁ ἀλλότριον οἰκέτην φονεύσας κολάζεται*[4])· *εὔλογος δέ ἐστιν αἰτία ἡνίκα τις ηὗρε τὸν ἴδιον οἰκέτην τῇ ἑαυτοῦ μιγνύμενον*[5]) *γαμετῇ ἢ χεῖρας ἐπέβαλε τούτῳ, ὁ δὲ προλαβὼν ξίφει τοῦτον ἀνεῖλεν· ἀκίνδυνος ἐπὶ τούτων ἐστὶν ὁ φόνος. οὐ μόνον δὲ ἐπέσχεν ὁ βασιλεὺς τὴν ἄλογον τῶν οἰκετῶν ἀναίρεσιν, ἀλλὰ γὰρ*[6]) *καὶ τὴν ὑπερβάλλουσαν ἀγανάκτησιν ἐπέσχε τῶν δεσποτῶν*[7]) *ἑτέρᾳ διατάξει ἐκ προφάσεως τοιαύτης λαβούσῃ τὴν ἀρχήν.* Iúliós *τις* Sabînos[8]) *τραχὺς ἦν κατὰ τῶν ἰδίων οἰκετῶν. οὐ φέροντες οὗτοι τὴν ἄμετρον αὐτοῦ πικρίαν καὶ τιμωρίαν*[9]), *τὸν δεσπότην ἀπολιπόντες οἱ μὲν εἰς σεβασμίους κατέφυγον οἴκους, οἱ δὲ ἐπὶ ἀνδριάντας βασιλικούς*[10]). *προϊόντος* Aelíu Marcianû *τοῦ τῆς ἐπαρχίας ἄρχοντος, ἐπεκαλέσαντο τὴν αὐτοῦ βοήθειαν. ὁ δὲ ἐρωτήσας, ἔγνω τὴν τύχην, ἔμαθε καὶ τὴν αἰτίαν τῆς τοιαύτης προσελεύσεως. οὐκ ἔχων δὲ νόμον τὴν τοιαύτην ὑπόθεσιν τέμνοντα ἐπύθετο βασιλέως*[11]) *τί δέοι πρᾶξαι, πάντα τὰ γεγονότα διηγησάμενος. ὁ βασιλεὺς πρὸς τοῦτο κινηθεὶς προσέταξε μὴ χρῆναι προπετῶς πιστεύειν τοῖς οἰκέταις λέγουσί τι κατὰ τοῦ δεσπότου*[12]) (*φύσει γὰρ ὁ δοῦλος τοῦ δεσπότου πολέμιος*), *ἀλλὰ συγκροτεῖν δικαστήρια*[13]) *καὶ διαγινώσκειν τὰ μεταξὺ αὐτῶν. καὶ εἰ φανῇ ἀφόρητος οὖσα τῶν δεσποτῶν ἡ ἀγανάκτησις, ἀνάγκην ἕξουσιν οἱ δεσπόται τοὺς οἰκέτας καθ' ὧν οὗτοι χαλεπαίνουσι καλῇ αἱρέσει πωλῆσαι, καὶ τὸ τίμημα δοθῆναι τοῖς δεσπόταις*[14]). *διὰ τοῦτο δὲ εἶπε καλῇ*

---

1) *τῶν* add. P. 2) *τελ. ὑπὸ ῥ. β.* P. 3) d. L1. 4) d. R. 5) *συγγενόμενον* R. 6) d. R. 7) *ἐν* add. F. R. *ἑτέρας διατάξεως — λαβούσης* P. 8) ita scribit L1. hinc usque ad 1, 10. 1 deficit L1: L2. grauiore adhuc lacuna laborat. ideo quae secuntur ad P. potissimum recensuimus. 9) d. P. R. 10) *καὶ* cj. R. 11) F: *τῷ βασιλεῖ* P. *βασιλέα* R. 12) *τῶν δεσποτῶν* R. 13) *δικαστὴν* R, qui *δικαστήριον* mauult. 14) *τοῖς δεσπόταις δοθήσεται.* Vi. R.

2. domino adquiritur. 2. Hodie autem nullis hominibus qui sub romano imperio sunt licet sine causa legibus cognita seruum suum occidere, set neque supra modum in eos saeuire. diui enim Antonini constitutione cautum est ut qui sine causa probabili seruum suum occiderit ita puniendus sit, sicuti qui alienum interfecerit seruum plecti soleat. probabilis causa est cum quis seruum suum cum uxore sua in adulterio deprehendat, aut cum seruus ei manus iniciat: nam si praeuertens ferro eum interemerit, impune occisio fit. Non solum uero uetuit princeps seruum sine ratione interfici, set maiorem quoque dominorum asperitatem alia coercuit constitutione, quae ex eiusmodi occasione originem duxit. Iulius quidam Sabinus in seruos suos asper erat, qui cum intolerabilem eius saeuitiam et poenas ferre non possent, domino relicto, alii ad uenerabiles domos, alii ad principum statuas confugerunt. cumque transiret Aelius Marcianus illius praeses prouinciae, eius inuocauerunt auxilium. qui cum interrogasset, eorum nouit condicionem causamque eiusmodi aditionis didicit. cum uero lex non esset, qua eiusmodi species decideretur, principem consuluit, quidnam fieri oporteret, omnia facta proponens. princeps uero ad ea commotus rescripsit non esse seruis temere credendum de domino suo querentibus; natura enim seruus domino inimicus est; set iudicium conuocandum et controuersiam explanandam esse: et si uideretur intolerabilis domini asperitas, cogendos esse dominos seruos, in quos saeuierint, *bonis condicionibus* uendere, pretiumque dominis dandum. ideo autem dixit »bonis condicio-

αἱρέσει, ἵνα μὴ ὁ δεσπότης ἀγανακτῶν ἑσθότε κατὰ τοῦ οἰκέτου, αἱρέσεις ἐν τῇ πράσει βαρείας ἐγγράφῃ, συμφωνήσας τυχὸν, ὥςτε αὐτὸν εἶναι ἐν δεσμοῖς, ἢ ἐπὶ τῷ μηδέποτε ἐλευθερωθῆναι, ἢ ἐπὶ τῷ οἰκεῖν αὐτὸν ἐν χώρᾳ βαρυτάτους ἀέρας ἐχούσῃ τοῖς ἤθεσι, καὶ γένηται παρρησία τῷ δεσπότῃ πιπράσκοντι διὰ τῶν πάκτων τιμωρεῖσθαι καὶ μετὰ τὴν πρᾶσιν τὸν οἰκέτην. ὀρθῶς δὲ κἀκεῖνο ὁ βασιλεὺς προσέθεικε τὸ καὶ[1]) πραθῆναι τὸν οἰκέτην καὶ τὸ τίμημα δοθῆναι τῷ δεσπότῃ[2]), ἵνα ὁ μὲν οἰκέτης διὰ τῆς πράσεως διαφύγῃ πικρὸν δεσπότην, ὁ δὲ δεσπότης μὴ ζημιωθῇ τὸν οἰκέτην διὰ τῆς τοῦ τιμήματος λήψεως. καὶ μὴ ἀγανακτείτω ὁ δεσπότης μὴ συγχωρούμενος τῶν ἰδίων ἄρχειν οἰκετῶν· ὁ γὰρ βασιλεὺς καὶ ἄκοντας τοὺς ὑπηκόους εὐεργετεῖ. εἰκὸς γὰρ ἦν οἰκέτας ἀποροῦντας καταφυγῆς ἑαυτοὺς ἀνελεῖν ἢ καὶ φυγῇ χρησαμένους τὸν δεσπότην ζημιῶσαι τὴν οἰκείαν τιμήν· ὥςτε οὖν ἀμφοτέρων ἐποιήσατο πρόνοιαν, καὶ τῶν δεσποτῶν καὶ τῶν οἰκετῶν. λυσιτελὲς γάρ ἐστι[3]) τῇ πολιτείᾳ τὸ μηδένα κακῶς τῇ οἰκείᾳ κεχρῆσθαι περιουσίᾳ. ἐστὶ δὲ τὰ τῆς διατάξεως ῥήματα πρὸς Aélion[4]) Marcianòn ἀντιγραφέντα ἐν τούτοις· »τὴν τῶν δεσποτῶν ἐξουσίαν »ἀμείωτον εἶναι χρὴ κατὰ τῶν οἰκετῶν καὶ οὐ δεῖ τοῦτο[5]) »νόμῳ περαιοῦσθαι· τουτέστιν οὐ δεῖ τίποτε τῶν τοῦ δεσπότου »δικαίων μειῶσαι. συμφέρει δὲ[6]) καὶ τοῖς δεσπόταις τὸ βοη»θεῖσθαι τοὺς οἰκέτας κακῶς φερομένους ὑπὸ τῶν δεσποτῶν ἢ »ἐξ ὀργῆς ἀμέτρου ἢ λιμοῦ ἢ ὕβρεως ἀφορήτου. ὅθεν οὐ χρὴ »ἀρνεῖσθαι τοῖς δίκαια αἰτοῦσιν οἰκέταις. διάγνωθι τοίνυν περὶ »τῆς μέμψεως τῶν ὄντων μὲν ἐκ τῆς Iulíu Sabínu familías, »καταφυγόντων δὲ ἐπὶ ἀνδριάντας· καὶ εἰ ζητῶν εὕρῃς[7]) ἀπάν»θρωπον περὶ αὐτοὺς τὸν Sabînon ἤπερ ἔχρην, ἢ εἰς αἰσχρο»τάτην αὐτοὺς ἑλκυσθέντας πρᾶξιν, διαπιπράσκεσθαι κέλευσον, »οὕτω μέντοι, ὥςτε μὴ ὑποστρέφειν αὐτοὺς εἰς τὴν τοῦ πεπρα»κότος[8]) δεσπότειαν. εἰ γὰρ ὁ εἰρημένος Sabînos πρὸς περι»γραφὴν τῆς τοιαύτης πρᾶξαί τι διανοηθῇ διατάξεως κατὰ πρώ»την μὲν ὄψιν τὸν οἰκέτην[9]) πωλήσας, ἰδίᾳ δὲ συμφωνήσας,

---

1) καὶ τὸ R. 2) πικρ. διαφ. δεσπ. P. 3) πρᾶγμα add. F. R. 4) Σέντιου P. 5) τούτῳ F. τούτῳ τῷ R. 6) γὰρ P. 7) —οις F. —εῖς add. ed. ant. F. 8) —των P. 9) τοὺς οἰκέτας R.

nibus«, ne dominus seruo infensior graues aliquando condiciones uenditioni apponeret, ueluti si pacisceretur ut in uinculis retineretur, uel ut nunquam manumitteretur, uel ut in regione habitaret quae grauiore aere iis qui adsueti non sint, utatur: et ita liceat domino lege uenditionis in seruum etiam post uenditionem saeuire. recte et illud princeps adiecit, uendendum esse seruum pretiumque domino dandum, ut et seruus per uenditionem asperum fugeret dominum neque dominus, cum pretium acciperet, serui pretium perderet. neque est cur indignetur dominus quasi non ei liceat suis seruis imperare: princeps enim uel inuitos subditos suos beneficio adficit. facile enim esset futurum ut serui, qui nullam refugii copiam haberent, sibimet mortem consciscerent aut fugam capesserent et sic pretii sui damnum domino adferrent. utriusque igitur curam gessit, domini et serui: expedit enim reipublicae ne quis re sua male utatur. uerba autem rescripti ad Aelium Marcianum haec sunt: »dominorum potestatem illibatam esse oportet neque id »lege minui, idest non sunt dominis iura detrahenda. set »dominorum interest auxilium seruis a dominis male ha»bitis ferri contra iram inmodicam uel famem uel intole»rabilem iniuriam. ideoque cognosce de querellis eorum qui »ex familia Iulii Sabini ad statuas confugerunt; et si inqui»rens durius eos quam par est habitos uel ad turpe quoddam »facinus compulsos cognoueris, ueniri iube, ita quidem, ut in pote»statem uenditoris non reuertantur. sin autem praedictus Sabi»nus aliquid in fraudem huiusce constitutionis facere praesump-

»ὥςτε τοῦτον[1]) αὐτῷ ἀναδοθῆναι. πικρότατος αὐτῷ φανή»σεται ὁ βασιλεὺς τοιαῦτα πλημμελοῦντι καὶ τὴν αὐτοῦ περι»γράφοντι διάταξιν.«

De patria potestate.[2]) Titulus 9.

Ἔγνωμεν ἐν τοῖς προλαβοῦσιν ὅτι τὸ[3]) in potestate ἔχομεν κατὰ τῶν ἡμετέρων οἰκετῶν καὶ κατὰ τῶν ἡμετέρων παίδων. τῆς δὲ κατὰ τῶν οἰκετῶν λεχθείσης ὑπεξουσιότητος, ὑπόλοιπον εἰπεῖν τὸ κατὰ τῶν υἱῶν in potestate[4]). in potestate ἔχομεν τοὺς ἡμετέρους παῖδας, οὓς ἐξ ἐννόμων ἐσχήκαμεν γάμων. 1. Ὁ δὲ γάμος εἴρηται ῥωμαϊκῇ διαλέκτῳ nuptiae ἤτοι[5]) 1. matrimonium. καὶ τί ἐστι γάμος; ἀνδρὸς καὶ γυναικὸς συνάφεια ἀχώριστον τοῦ βίου τὴν συνήθειαν ἐπαγγελλομένη ἤτοι περιέχουσα[6]). 2. Τὸ δὲ in potestate, ὅπερ ἔχομεν κατὰ τῶν 2. ἡμετέρων παίδων μόνον ῥωμαίων ἴδιόν ἐστιν. οὐδεὶς γὰρ ἕτερος κατὰ τῶν οἰκείων παίδων τοιαύτην ἔχει ὑπεξουσιότητα ὁποίαν ῥωμαῖοι, ὥςτε οὖν iurisciuile[7]) ἐστὶ τοῦτο[8])· τὸ γὰρ κατὰ τῶν οἰκετῶν iurisgéntion. 3. Ὁ τοίνυν ἐξ ἐμοῦ καὶ τῆς 3. ἐμῆς τικτόμενος γαμετῆς ἐμὸς ὑπεξούσιός ἐστιν. ὡσαύτως καὶ ὁ ἐκ τοῦ ὑπεξουσίου μου παιδὸς καὶ τῆς αὐτοῦ τικτόμενος γαμετῆς, τουτέστιν ὁ ἐμὸς ἔκγονος καὶ ἡ ἐμὴ ἐκγόνη, ὁμοίως ἐμοὶ γενήσονται ὑπεξούσιοι. τὸ αὐτὸ καὶ ἐπὶ προεκγόνων καὶ ἀπεκγόνων καὶ τῶν ἐφεξῆς[9]). οἱ γὰρ ἐκ τῆς ἐμῆς τικτόμενοι θυγατρὸς οὐχ ὑποβληθήσονται τῇ ὑπεξουσιότητι τοῦ πρὸς μητρὸς πάππου[10]), ἀλλ' ὑπεξούσιοι ἔσονται τῷ ἰδίῳ[11]) πατρί.

---

1) τούτους R. 2) Περὶ πατρικῆς ἐξουσίας add. libri. 3) de. edd. ant F. 4) ἤτοι ὑπεξουσίων P. ὑπεξούσιον edd. ante F. item R. 5) siue R. 6) ἤγουν παρέχουσα R. 7) P., iuris ciuilis F. R. 8) τὸ νόμιμον add. R. 9) P. R., προεγγόνου καὶ προεγγόνης καὶ τ. ἐ. F. 10) ἐμοῦ δηλονότι add. R. 11) οἰκείῳ P.

»serit, prima quidem facie seruum distrahens, tacite autem »pactus ut sibi reddatur, seueriorem principem experietur »tale admittens facinus fraudemque eius faciens constitutioni.«

De patria potestate. Titulus 9.

Propositum est in superioribus in potestate habere nos tum seruos nostros tum liberos nostros. cumque de potestate tractauerimus, quam in seruos habemus, restat ut de potestate, quam in liberos habemus, dispiciamus. in potestate nostra sunt liberi nostri, quos ex iustis nuptiis pro-
1. creauerimus. 1. Nuptiae siue matrimonium apud Graecos γάμος audit. et quid est matrimonium? uiri et mulieris coniunctio indiuiduam uitae consuetudinem promittens seu
2. continens. 2. Ius autem potestatis, quod in liberos nostros habemus, romanorum tantummodo proprium est. nemo enim alius est, qui talem in suos liberos habeat potestatem, qualem Romani habent. itaque iuris ciuilis eiusmodi potestas
3. est, cum ea, quam in seruos habemus, sit iuris gentium. 3. Qui igitur ex me et uxore mea nascitur in mea est potestate; item qui ex filio qui mei iuris est et uxore eius nascitur, idest nepos meus meaque neptis aeque in mea est potestate. idem optinet et in pronepote et pronepte et deinceps ceteris. qui tamen ex filia mea nascuntur, aui sui materni potestati non subicientur, set patris sui in potestate erunt.

De nuptiis[1]. Titulus 10.

Ἐννόμους[2]) *δὲ*[3]) *γάμους μεταξὺ ἀλλήλων συνιστῶσι ῥωμαῖοι, ἡνίκα περὶ γάμου τὰ*[4]) *τοῖς νόμοις διηγορευμένα φυλάξωσιν*[5]). *δεῖ δὲ τοὺς μὲν ἄρρενας ἐφήβους εἶναι, τὰς δέ θηλείας ἀνδρὸς δεκτικάς· τουτέστι τοὺς μὲν ὑπερβεβηκέναι τὸ ιδ ἔτος*[6]), *τὰς δὲ μείζονας*[7]) *εἶναι τῶν ιβ ἐνιαυτῶν. ταῦτα δὲ λέγομεν εἴτε αὐτεξούσιοι, εἴτε ὑπεξούσιοί*[8]) *εἰσιν οἱ πρὸς γάμον συνίοντες*[9]), *ἀλλ' ἐπὶ τῶν ὑπεξουσίων καὶ ἕτερόν τι ζητοῦμεν, συναίνεσιν εἶναι τῶν γονέων ὧν ὑπεξούσιοί εἰσιν οἱ συναπτόμενοι. τοῦτο γὰρ χρῆναι*[10]) *γίνεσθαι καὶ ὁ πολιτικὸς καὶ ὁ φυσικὸς ἀπαιτεῖ λογισμός· ὁ πολιτικὸς μὲν διὰ τὸ ῥωμαίων ἴδιον*[11]), *τουτέστι τὴν ὑπεξουσιότητα, ὁ φυσικὸς δὲ, ἐπειδὴ δίκαιον τοὺς μέχρι τοιαύτης ἡλικίας ἀναθρέψαντας*[12]) *ταύτης ἀξιοῦσθαι τῆς τιμῆς*[13]). *δεῖ δὲ τὴν τοῦ πατρὸς ἡγεῖσθαι κέλευσιν*[14]). *ὅθεν ἀμφιβολίας αἴτιον γέγονεν ἐκεῖνο*[15])· *μαινομένου παῖδες*[16]) *υἱὸς ἢ θυγάτηρ ἐπὶ γάμον ἐλθεῖν ἠπείγοντο. οὐ γὰρ παύεται τοῦ ἔχειν* in potestate *τοὺς παῖδας μανίαν ὁ πατὴρ δυστυχήσας, ἐπειδὴ οὐχὶ ὁ*[17]) *νήφων λογισμὸς τοῦ πατρὸς* in potestate *ποιεῖ τοῖς πατράσι*[18]) *τοὺς παῖδας, ὥςτε ἡμᾶς λέγειν στερηθέντα τὸν πατέρα τοῦ φρονεῖν συναπολλῦναι καὶ τὴν τῶν παίδων ὑπεξουσιότητα, ἀλλ' ὁ ἐξ ἐννόμων γάμων γενόμενος τοκετός. ἠβούλοντο οὖν οἱ παῖδες ἐπὶ γάμον ἐλθεῖν, ὑπεξούσιοι δὲ ὄντες τῆς τοῦ πατρὸς ἐδέοντο συναινέσεως· συναινεῖν δὲ ὁ μαινόμενος οὐκ ἠδύνατο. ζητοῦμεν εἰ δύνανται*[19]). *καὶ εἰ μὲν εἴπωμεν συναίνεσιν εἶναι τὸ λέγειν ἰδικῶς τὸν πατέρα ὅτι ἀρέσκομαι τῷ*

---

1) *περὶ γάμου* add. libri. 2) haec insunt Epa. 16, 2. Basil. 28, 1, 43: Syn. 3, 1, 8. Att. 20, 1. Harm. 4, 4. 2. 3) d. Syn. 4) *τὰ περὶ γ.* P. R. *τὰ περὶ τῶν* Syn. 5) —*ουσι* F. Syn. 6) *ὑπερβαίνειν τὸ ιδ χρόνον* Harm. 7) *μείζους* P. R. 8) *εἴτε ὑπ. εἴτε αὐτ.* P. R. haec ins. Epi. 23, 3. 9) *τυγχάνοντες* P. *συναπτόμενοι* Harm. qui hic desinit. 10) *χρὴ* P. Syn. 11) *δίκαιον* Pi. *ἴδ. δίκ.* cj. R. 12) *τοὺς γονεῖς δηλόνοτι* add. R. cum edd. aut F. 13) *τουτέστι τῷ γάμῳ συνευδοκιμεῖν* item. 14) *τουτέστι δεῖ τὸν πατέρασυναινεῖν* item. 15) *κἀκεῖνο* R. 16) *πατρὸς* R. *παῖδος* F[2]. 17) de. F. R. 18) *τῷ πατρὶ* cj. R. 19) —*αται* G.

De nuptiis.. Titulus 10.

Iustas autem nuptias inter se contrahunt ciues romani, cum ea quae de nuptiis legibus constituta sunt obseruant. oportet enim masculos puberes esse, feminas autem uiripotentes, idest illos quidem quattuordecimum annum implesse, hasce uero duodecimum. haec autem dicimus, siue patres familias sint qui coeunt, siue filii familias. set in filiis familias alterum quid requirimus, ut nempe consensum habeant parentum, in quorum potestate sunt qui coniungi uolunt. id enim fieri oportere et ciuilis et naturalis ratio persuadet. ciuilis quidem propter ius potestatis, quod romanorum proprium est; naturalis autem quia aequum est, ut qui ad eam usque aetatem subolem educauerint, id habeant honoris. oportet autem iussum parentis praecedere. unde illud quaesitum est: furiosi liberi, filius uel filia, ad contrahendas nuptias sollicitabantur. neque enim pater quia furere coepit ideo desinit liberos in potestate habere; non enim sana parentis mens eius liberos potestati subicit, ut dicamus patrem qui mente captus sit ius quoque potestatis in liberos amittere: set eorum ex iustis nuptiis procreatio. uolebant igitur liberi matrimonio coniungi, set cum adhuc filii familias essent, patris consensus indigebant. consentire autem furiosus cum nequeat, uideamus an possint coniungi. si dicimus consensum esse cum expresse dicat pater sibi matrimonium placere, eiusmodi

γινομένῳ καὶ[1]) τὴν τοιαύτην ἐπὶ[2]) τοῦ μαινομένου[3]) γίνεσθαι συναίνεσιν ἡ νόσος οὐ συγχωρεῖ· εἰ δὲ δεξώμεθα συναίνεσιν εἶναι τὸ δρῶντα τὸν πατέρα μὴ ἀντιλέγειν τῷ πραττομένῳ, ἀκωλύτως ὁ γάμος προβήσεται. ἀλλ' οὐκ ἔστι τοῦτο ἀληθές. ὁ γὰρ μαινόμενος σιωπῶν οὐ συναινεῖ· ἐκεῖνος γὰρ σιωπῶν συναινεῖ, ὃς αἰσθανόμενος τοῦ γινομένου ἐναντιοῦσθαι δύναται, εἰ μὴ ἀρέσκηται τούτῳ. ὁ δὲ μεμηνὼς σιωπᾷ νικώμενος ὑπὸ τοῦ πάθους, οὐχ ἡδόμενος τῷ γάμῳ[4]). ἐπειδὴ οὖν πολλαὶ περὶ τούτων τῶν[5]) νομικῶν ἀμφιβολίαι γεγόνασι, γέγονε διάταξις τοῦ ἡμετέρου βασιλέως τέμνουσα τὴν ἀμφισβήτησιν καὶ ἐπιτρέπουσα τῷ παιδὶ τοῦ μαινομένου νόμιμον ἑαυτῷ λαβεῖν[6]) γυναῖκα[7]) τὴν τοῦ πατρὸς μὴ ἀναμένοντι[8]) συναίνεσιν, ὥςπερ καὶ τῇ θυγατρί (τὸ γὰρ τῆς θυγατρὸς ἀναμφίβολον ἦν), φυλαττόμενον δηλονότι τῶν τῇ αὐτῇ[9]) θείᾳ περιεχομένων διατάξει. 1. Ἐπειδὴ δὲ 1. εἰρήκαμεν ὅτι ἔννομος γάμος ἐστίν, ἡνίκα ῥωμαῖος ὑπερβὰς τὸν ιδ ἐνιαυτὸν ἀγάγηται ῥωμαίαν οὖσαν μείζονα τῶν ιβ ἐνιαυτῶν[10]), ἆρα καὶ ἐάν τις λάβῃ τὴν ἰδίαν μητέρα ἢ ἀδελφὴν ἢ θυγατέρα, θέμιτος ὁ γάμος; καὶ λέγομεν οὐδαμῶς· εἰσὶ γὰρ γάμοι κεκωλυμένοι. Καὶ πρὸς κατάληψιν τούτων ἔχε ταῦτα ὡς ἐν προθεωρίᾳ.[a]) ἡ συγγένεια ὄνομά ἐστι γενικόν, διαιρεῖται δὲ εἰς τρία, εἰς ἀνίοντας εἰς κατίοντας καὶ τοὺς ἐκ πλαγίου. καὶ ἀνίοντες μέν εἰσιν οἱ ἡμᾶς γεγεννηκότες, οἷον πατὴρ μήτηρ πάππος μάμμη καὶ οἱ ἔτι τούτων ἀνώτεροι· κατίοντες δὲ οἱ ἐξ ἡμῶν γεννώμενοι· οἷον υἱὸς θυγάτηρ ἔκγονος ἐκγόνη καὶ οἱ ἔτι τούτων κατώτεροι, ἐκ πλαγίου δὲ οἱ μήτε ἡμᾶς γεγεννηκότες μήτε ἐξ ἡμῶν γεννώμενοι, τῆς δ' αὐτῆς γονῆς καὶ ῥίζης ἡμῖν κεκοινωνηκότες, οἷον ἀδελφὸς ἀδελφὴ θεῖος θεία καὶ οἱ ἐκ τούτων καταγόμενοι. ἡ δὲ ἐκ πλαγίου συγγένεια διαιρεῖται εἰς δύο, εἰς adgnátus[11]) καὶ cognátus. καὶ adgnátoi εἰσὶν οἱ ἐξ ἀρρενογονίας ἡμῖν συναπτόμενοι, οἷον ἀδελφὸς ὁμοπάτριος ἢ ἀδελφὴ[12]) ὁμο-

1) d. R. 2) ὑπὸ cj. G. 3) νόμου P. 4) οὐχ ἡδίως ἔχων R. 5) d. P. 6) λαμβάνειν F. 7) καὶ ins. R. 8) ἀναμένειν R. 9) d. R. τῇ θ. ταύτῃ P. 10) ἐτῶν R. 11) L 1. de ceteror. scriptione cf. R. 91. 12) d. P.

a) Cf. Epi. 22, 1 sq. et Theoph. 3, 2 pr.: Epa. 17, 1. Proch. 7, 1 sq. Bas. 28, 5, 1. Att. 21, 1 sq.

consensum fieri furor non patitur. sin autem consensum esse dicimus, cum pater sciens nuptiis non aduersetur, libere matrimonium procedere posse cuidam forte uidebitur, set non est hoc uerum. furiosus enim non ideo quia tacet consentire uidetur: ille enim tacendo consentit qui et contradicere potest, cum factum norit, nisi id sibi placeat. furiosus uero tacet morbo uictus non nuptias probans. cum ergo plures de hoc prudentium fuerint controuersiae, lata est nostri principis constitutio dubitationes amputans, quae furiosi filio concessit iustam sibi uxorem matrimonio sociare, patris consensum non expectanti, sicuti in filia optinebat (de filia enim non ambigebatur), seruatis tamen eiusdem sacratissimae constitutio-
1. praeceptis. 1. Cum uero dixerimus iustas esse nuptias cum ciuis romanus XIIII annis maior romanam ducat XII annis maiorem, an et si quis matrem forte suam aut sororem aut filiam duxerit, iustum erit matrimonium? nequaquam sane. a quarundam enim nuptiis abstinendum est. et ut rem melius intellegere possis, haec primum tibi perspecta habeas. cognatio cum generale nomen sit in tres deducitur, quarum alia supra, alia infra atque alia ex transuerso computatur. et superior est eorum qui nos genuere, ueluti pater mater auus auia, et his superiores. inferior autem est eorum qui ex nobis sati sunt, ueluti filius filia nepos neptis et his inferiores. ex transuerso autem cognati nobis sunt, qui nec nos genuerunt neque a nobis procreati sunt, set eandem originem atque stirpem nobiscum communem habent, ueluti frater soror patruus auunculus amita matertera et qui ex his descendunt. cognatio autem ex transuerso in duas deducitur, in adgnatorum nempe et cognatorum. et adgnati sunt qui per masculini sexus personas nobis coniunguntur, ueluti frater con-

πάτριος[1]) καὶ οἱ παῖδες οἱ ἐκ τοῦ ἀδελφοῦ καὶ οἱ ἐκ τοῦ υἱοῦ τοῦ ἀδελφου[2]) ἔκγονος ἢ ἐκγόνη[3]), θεῖος πρὸς πατρὸς καὶ οἱ[4]) τούτου παῖδες καὶ οἱ ἐκ τοῦ υἱοῦ τοῦ θείου ἔκγονος[5]) ἐκγόνη. ἢ θεία πρὸς πατρός· καὶ ἁπλῶς ἡνίκα μὴ εὑρεθῇ θῆλυ πρόσωπον αἴτιον ὑπάρχον τῆς συγγενείας, λέγεται κατὰ τάξιν προσιέναι[6]) τὴν adgnatíona. cognátoi δὲ οἱ ἐκ θηλυγονίας ἡμῖν γινωσκόμενοι, οἷον ἀδελφὸς ὁμομήτριος μόνον[7]), οὐκέτι δὲ ὁμοπάτριος[8]) καὶ οἱ ἐκ τούτου κατίοντες ἢ ἀδελφὴ ὁμομήτριος[9]) ἤγουν καὶ τῆς[10]) ὁμοπατρίου ἀδελφῆς οἱ παῖδες. καὶ αὐτοὶ[11]) γὰρ cognátoi εἰσιν, ἐπειδὴ θῆλυ πρόσωπον παρεντεθὲν τὸ τῆς ἀδελφῆς διέτεμε τὴν adgnatíona[12]). οἱ adgnátoi λέγονται καὶ legítimoi, τουτέστι νόμιμοι, καὶ cognátoi ἤτοι[13]) φυσικοί. οἱ δὲ cognátoi φυσικοὶ μόνον λέγονται[14]) οὐκέτι δὲ[15]) legítimoi. οὓς γὰρ μόνον[16]) νόμος ἐπίσταται, τούτους οἶδε καὶ ἡ φύσις. οὓς δὲ ἡ φύσις γινώσκει, οὐ πάντως οἶδεν ὁ νόμος· αὕτη δὲ ἡ συγγένεια διχῶς συνίσταται ἢ φύσει ἢ[17]) θέσει. καὶ φύσει μέν, ὅταν ἐξ ἐννόμων γάμων παῖδες προέλθωσι, θέσει δέ, ὅταν ἔχων τις υἱὸν λάβῃ ἕτερόν τινα εἰς υἱοθεσίαν. οὗτος[18]) μὲν γὰρ[19]) τοῦ ἐμοῦ[20]) φυσικοῦ παιδός,[21]) ἰδίου δὲ θετοῦ ἀδελφοῦ καὶ adgnátos ἐστι[22]) καὶ cognátos. οὓς γὰρ ἡ θέσις adgnátus αὐτῷ ποιεῖ, τούτους ἀποτελεῖ καὶ cognátus. καὶ γὰρ ἡ νόμιμος πρᾶξις, τουτέστιν ἡ υἱοθεσία, εὐχερῶς συνάπτεται τῇ adgnatíoni ἐννόμῳ οὔσῃ καὶ αὐτῇ. τὰ γὰρ νόμιμα τοῖς νομίμοις συνάπτεται. λοιπὸν δὲ ἡ adgnatíωn συναπτομένη τῇ θέσει ἕλκει μεθ' ἑαυτῆς καὶ τὴν φύσιν, τουτέστι τὴν cognatíona, καὶ οὓς adgnátus καλεῖ ὁ θετός, τούτους ὀνομάζει καὶ cognátus[23]). οὓς δὲ ἤμελλε adgnátus καλεῖν εἴτε φυσικὸς ὑπῆρχέ μου παῖς, τούτους

---

1) d. F. 2) d. P. 3) L1. L2. P. edd. ἐγγ. 4) ἐκ. add. F. R. 5) d. P. 6) προϊέναι em. R. 7) d. F. R. 8) expang. conatur R. 9) d. P. 10) ὁμομητρίου F. 11) οὗτοι P. G. F. 12) breuius R. τὸ τῆς ἀδελφῆς πρόσωπον διετ. τ. ἀδν. 13) ἤγουν F. R. 14) μόνον φυσικοὶ R. 15) καὶ add. R. 16) d. R. 17) νόμῳ καὶ add. R. 18) οὕτω R. μὲν d. P. F. R. 19) ὁ υἱοθετούμενος R. 20) μὲν add. P. F. R. 21) τοῦ add. R. 22) ἐστιν ἀδν. R. 23) κογν. καὶ ὀν. τούτους F. τούτους καὶ κογν. ὀν. R.

sanguineus soror consanguinea fratris filii et ex fratris filio nepos neptis amita et in summa donec feminini sexus personam inueniamus, quae cognationis auctor sit, dicitur adgnatio procedere. cognati autem sunt qui per feminini sexus personam nobis coniunguntur, ueluti frater uterinus tantum, non etiam consanguineus, eiusque liberi, soror uterina, uel etiam sororis consanguineae liberi. et hi quidem cognati sunt; feminini enim sexus persona intercedens adgnationem interrupit. adgnati uero legitimi quoque dicuntur et cognati seu natura coniuncti. cognati uero natura tantum coniuncti dicuntur, non etiam legitimi. quos enim ius agnoscit, eos natura quoque nouit; quos autem natura adgnoscit, non prorsus ius quoque nouit. haec autem cognatio bifariam consistit aut natura aut adoptione. et natura quidem cum ex legitimis nuptiis liberi nascantur, adoptione vero cum quis filium habens alterum adoptandum suscipiat. hic enim filii mei naturalis, sui autem fratris adgnatus fit et cognatus. quos enim adoptio ei adgnatos facit hos et cognatos efficit; legitimum enim negotium, ueluti adoptio, facile adgnationi coniungitur, quae et ipsa legitima est. legitima enim cum legitimis facile coniunguntur. postea uero adgnatio quae adoptionem sequitur naturam quoque secum trahit, idest cognationem et quos adgnatos filius adoptiuus uocat, eos et cognatos appellat. quos autem cognatos foret uocaturus, si naturalis mihi filius esset, hos, cum sit adoptiuus, neque adgna-

θετὸς ὢν οὐδὲ adgnátus *οὐδὲ* cognátus *καλεῖ. τὸ γὰρ ἐν φύσει* cognáton *ἐν θέσει οὐδὲν εἶναι νομίζεται. ἐπειδή σοι ταῦτα προτεθεώρηται, ὅρα λοιπὸν τὸ προκείμενον. ἐλέγομεν ἐν τοῖς προλαβοῦσιν, ὅτι οὐκ ἀεὶ ῥωμαῖος ῥωμαίᾳ συναπτόμενος ἔννομον γάμον ἀποτελεῖ διὰ τὸ εἶναί τινας κεκωλυμένους.*[a] *καὶ τέως ἐπὶ τῶν ἀνιόντων καὶ*[1]*) κατιόντων εἰς ἀπέραντος ὁ γάμος κεκώλυται*[2]*)· οὐ δύναται γάρ τις λαμβάνειν*[3]*) τὴν ἰδίαν μητέρα ἢ μάμμην ἢ θυγατέρα ἢ ἐκγόνην εἴτε φυσικαί εἰσιν εἴτε θεταί, εἰ καὶ τὰ μάλιστα ἡ θέσις ἐλύθη τῷ τρόπῳ τῆς* emancipatíonos. *αἰσχυνέσθω γὰρ τὴν νῦν*[4]*) ἢ*[5]*) πάλαι τοῦ πατρὸς ἢ*[6]*) πάππου προσηγορίαν. 2. Καὶ μεταξὺ δὲ τῶν ἐκ πλαγίου προ-* 2.
σώπων ἐστί τις κώλυσις ἀλλ' οὐ διηνεκής. ἰδοῦ γὰρ μεταξὺ ἀδελφοῦ καὶ ἀδελφῆς οὐ συνίστανται[7]*) γάμοι, εἴτε ὁμοπάτριοί εἰσι καὶ ὁμομήτριοι κατὰ ταὐτὸ*[8]*), εἴτε μόνον ὁμοπάτριοι ἢ μόνον ὁμομήτριοι*[9]*). εἰ δὲ εἴη μοι θετὴ ἀδελφή, ἐφ' ὅσον μὲν συνέστηκεν ἡ θέσις ὁ γάμος ἐμποδίζεται. ταύτης δὲ διαλυθείσης διὰ τὸ ἐμὲ ἢ*[10]*) ἐκείνην* emancipátus *γενέσθαι, ἀκωλύτως ὁ γάμος προβήσεται. ἐπειδὴ γὰρ ἡ θέσις νόμιμος οὖσα διὰ τῆς* emancipatíonos *οὔσης ἐννόμου*[11]*) καὶ αὐτῆς διελύθη, εἰκότως οὐδὲ ἓν εἶδος ἔχω πρὸς αὐτὴν συγγενείας. πάλαι μὲν γὰρ*[12]*), ὅτε οἱ δύο ἦμεν ὑπεξούσιοι, καὶ* adgnátan *αὐτὴν ἐκάλουν καὶ* cognátan· *τῆς δὲ* emancipatíonos *διαλυσάσης τὴν θέσιν,* adgnátan *αὐτὴν οὐ καλέσω. οὐκέτι γὰρ ἡ θέσις ἔννομος*[13]*) οὖσα κρατεῖ παρ' ἑαυτῇ τὴν νόμιμον συγγένειαν, τουτέστι τὴν* adgnatíona. *τῆς δὲ* adgnatíonos *ἀναιρεθείσης, ἀπολέλυται καὶ ἡ* cognatíων. *ἐπειδὴ γὰρ* adgnátan *αὐτὴν καλεῖν οὐ δύναμαι,*

---

1) *τῶν* add. R. *ἐπὶ τῶν* F. 2) *κἂν μὴ ἐξ ἐννόμων ὦσι γάμων* Pi. Syn. Harm. 3) *λαβεῖν* P. 4) *θετὴν* add. R. *ἡ νῦν θετὴ τῇ* cj. Ruhnken. *τῇ* Bas. Syn. Harm. 5) *ἡ* omn. · *τῇ ἐκγόνῃ πάλαι ἢ τοῦ πάππου* Harm. 6) *καὶ* F. R. 7) *ὁ γάμος* P. Vi. R. 8) *δὲ* add. F. 9) haec de. L1 10) de. F. 11) *ἐνν. οὔσης.* 12) de. P. 13) *ἔνν. ἡ θέσις.*

a) hinc — usque ad. 1, 10. 9 Bas. 28, 5. Syn. Harm. 4, 6. 21 sq. Thum secuntur. Quae hinc usque ad §. 6 traduntur, leguntur etiam in Epa., 17, 2—7, quae §. 9° in Epa. 17, 15—16. quae singula qualia sint suis locis proponemus.

tos uocat neque cognatos. cognatio enim quae natura contingit pro nihilo in adoptione habetur. Cum haec tibi perspecta sint, uide quid inde sequatur. proposuimus in superioribus non semper ciuem romanum romanae coniunctum iustas nuptias contrahere; sunt enim quaedam prohibitae. et inter parentes quidem et liberos in infinitum nuptiae prohibentur. non potest enim quis matrem suam aut auiam aut filiam aut neptem siue naturales sint, siue adoptiuae uxorem ducere, licet per emancipationem adoptio sit soluta. pristinum enim patris uel aui nomen nunc quoque ei pudori esse
2. debet. 2. Item inter eas quoque personas quae ex transuerso gradu cognationis iunguntur est aliquod impedimentum, set non perpetuum. sane enim inter fratrem sororemque nuptiae non consistunt, siue ex eodem patre eademque matre nati fuerint, siue ab alterutro eorum. set si quae per adoptionem soror mihi esse coeperit, nuptiae impediuntur. hac uero dissoluta mea forte aut illius emancipatione, libere matrimonium procedet. adoptione enim, utpote quae legitimum sit negotium, per emancipationem, quae iuris ciuilis quoque est, dissoluta, nullam cum ea speciem habebo cognationis. olim enim cum uterque in eiusdem patris potestate essemus, adgnatam eam et cognatam appellabam; adoptione uero per emancipationem soluta, adgnatam eam non appellabo. adoptio enim utpote quae iuris ciuilis sit ciuilem cognationem in se continet, idest adgnationem. adgnatione autem sublata cognatio quoque dissoluitur. et cum eam adgnatam

εἰκότως οὐδὲ cognátan. *διὸ ἐάν τις τὸν ἴδιον γαμβρὸν εἰς θέσιν βούληται λαβεῖν, ὀφείλει πρότερον τὴν θυγατέρα ποιεῖν* emancipátan[1]). *εἰ δέ τις*[2]) *ἔχων υἱὸν καὶ νύμφην, βούληται εἰς θέσιν λαβεῖν τὴν νύμφην*, emancipateúein *πρότερον ὀφείλει τὸν υἱόν. εἰ γὰρ μὴ τοῦτο πράξῃ, τῇ θέσει τοῦ γαμβροῦ ἢ τῆς νύμφης ὁ γάμος διαλυθήσεται. εὑρεθήσονται γὰρ ἀδελφοί· μεταξὺ δὲ ἀδελφῶν οὐδὲ εἰ*[3]) *εἶεν θετοὶ συνίσταται γάμος.*
3. *Τὴν*[4]) *τοῦ ἀδελφοῦ ἢ*[5]) *τῆς ἀδελφῆς μου θυγατέρα λαμ-* 3.
βάνειν πρὸς γάμον οὐ θέμις[6]). *ἀλλ' οὐδὲ τὴν τούτων ἐκγόνην, εἰ καὶ τὰ μάλιστα δ̄ ἐστι βαθμοῦ, ἐξ οὗ βαθμοῦ δύναμαι λαμβάνειν πρὸς γάμον*[7]), *οἷον τὴν*[8]) *θυγατέρα τοῦ θείου ἢ τῆς θείας. κανὼν γὰρ ἔστω σοι καθολικός· ἐκείνου προσώπου οὗ τὴν θυγατέρα οὐ δύναμαι λαβεῖν πρὸς γάμον, τούτου οὐδὲ τὴν ἐκγόνην. εἰ δὲ ὁ φύσικός μου πατὴρ λάβῃ τινα κόρην εἰς θέσιν, γένηται δὲ ἐκ ταύτης θυγάτηρ δύναμαι λαβεῖν*[9]) *ταύτην πρὸς γάμον, ἐπειδὴ* cognáta *μοί*[10]) *ἐστιν αὕτη ὡς ἐκ θηλυγονίας γινωσκομένη. εἰρήκαμεν δὲ τὸν*[11]) *ἐν φύσει* cognáton *ἐν θέσει οὐδὲν*[12]) *εἶναι.* 4. [13]) *Δύο ἀδελφῶν ἀρρένων ἢ θηλείων* 4.
παῖδες ἢ ἀδελφοῦ καὶ ἀδελφῆς[14]) *δύνανται πρὸς γάμον συνά-*

---

1) *ἐμαγκίπατον* Vi. R. 2) de. G. 3) Vi. *ἐὰν* R. 4) *γὰρ* ins. Syn. Bas. 5) *τὴν* ins Bas. 6) *λαμβάνειν οὐ δύναμαι πρὸς γάμον* P. *οὐ λαμβάνω πρὸς γάμον* Harm. 7) L[1]. *οὐ δύναμαι* P. Vi. R. *ἐξ οὗ βαθμοῦ δύνασθαι λαμβάνειν πρὸς γάμον οὐ θέμις* F. Cum L[1]. faciunt Epa. et Harm. 8) *θετὴν* add. P. R. 9) *λαμβάνειν* L[1]. F. 10) *μού* R. 11) ex cj. R. cett. *τὸν* 12) *μηδὲν* R. 13) longe aliis uerbis Bas. Syn. Epa. Harm., praecipue crediderim ob mutatum ius. 14) libri quos contuli add. *οὐ*. a) In uno cod. paris. deesse uoculam '*οὐ*' F. testatur, qui ait eam recentiore manu ibi adiectore fuisse (F[2] 68).

a) In L[1]. manu recentiore legitur: »*οὐ* deest in minori cod. Politiani et sane rectissime . . . set et hoc locis plerisque titulo minor codex praestat multoque amplior est.« Io. Metellus Sequanus. Set scholii meminisse iuuet ad Epa. 17, 2 [ed. Zach. p. 110]: *τοῦτο τὸ κεφάλαιον ἐν τοῖς ἰνστιτούτοις κατὰ τοιαύτην ἐρρέθη διάνοιαν ὅτι δύναται μέν τις ἐκ τοῦ δ̄ βαθμοῦ οἷον τὴν ἐξαδέλφην λαμβάνειν· τοῦτο γὰρ τότε οὐκ ἐκωλύετο.* quibus fretus, omni deposito scrupulo, *οὐ* deleui. Idem scholion in libris Prochiri inuenitur, cf. Zachariae. *Ὁ προχ. νόμος* p. 52.

uocare non possim, merito ne cognatam quidem. et ideo si
quis generum suum adoptare uelit, debet antea filiam eman-
cipare. nisi enim id faciat, adoptione generi nurusue eorum
matrimonium dissoluitur, utpote qui frater et soror esse
coeperint. inter eiusmodi enim personas, licet adoptiuae sint,
3. nuptiae non consistunt. 3. Fratris sororisue meae filiam
uxorem ducere mihi nefas est, set neque eorum neptem, quam-
uis quarto sit gradu, ex quo gradu uxorem ducere licet, ue-
luti patrui amitaeue filiam. regula enim uniuersalis sit tibi:
cuius filiam uxorem ducere mihi non liceat, eius ne neptem
quidem licere. Si uero pater meus naturalis adulescentulam
aliquam adoptandam suscipiat atque ex ea filia nascatur,
hanc uxorem ducere possum; cognata est enim mihi, ut-
pote quae per feminini sexus personam mihi coniungatur:
diximus autem cognationem in adoptione pro nihilo haberi.
4. 4. Duorum fratrum uel sororum liberi aut fratris et sororis

πτεσθαι. 5. Τὴν ἐμὴν ámitan (ámita δὲ[1]) ἡ πρὸς πατρὸς θεία) οὐ δύναμαι λαμβάνειν πρὸς γάμον, εἰ καὶ θετή ἐστιν· οὐ μὴν οὐδὲ τὴν matertéran (matertéra δέ ἐστιν ἡ πρὸς μητρὸς θεία), ἐπειδὴ μητρῶν τάξιν ἐπέχουσιν. τούτῳ τῷ[2]) λόγῳ οὐδὲ τὴν μεγάλην ámitan οὐδὲ τὴν μεγάλην matertéran, ἐπειδὴ μαμμῶν τάξιν ἐπέχουσιν. καί ἐστι[3]) μεγάλη ámita ἡ τοῦ πάππου μου ἀδελφὴ, ἣν ὁ ἐμὸς πατὴρ ámitan ἐκάλει[4]), ἐγὼ δὲ μεγάλην ámitan ἀποκαλῶ[5]). μεγάλη δὲ matertéra ἡ ἀδελφὴ τῆς ἐμῆς μάμμης, ἣν ἡ ἐμὴ μήτηρ matertéran καλεῖ[6]), ἐγὼ δὲ μεγάλην[7]) matertéran. εἴρηται δὲ[8]) ἐπὶ τῆς amítas ὅτι οὐ δύναμαι ταύτην λαβεῖν, οὐδ' εἰ ὑπάρχῃ θετή· οὐκέτι δὲ καὶ[9]) ἐπὶ τῆς matertéras. καὶ πῶς συμβαίνει εἶναι θετὴν ámitan ἢ μεγάλην θετὴν ámitan; οἷον ὁ πάππος μου ὁ πρὸς πατρὸς[10]) ἔχων υἱὸν τὸν ἐμὸν πατέρα ἔλαβε κόρην τινὰ εἰς θέσιν καὶ ὁ μὲν μὲν ἐμὸς πατὴρ ἐκάλει αὐτὴν θετὴν ἀδελφὴν, ἐγὼ δὲ θετὴν ámitan. μεγάλη δὲ θετὴ ámita πῶς προβαίνει[11]); ὑπόθου ὅτι ὁ πρόπαππός μου ὁ πρὸς πατρὸς ἔχων υἱὸν τὸν ἐμὸν πάππον ἔλαβεν εἰς θέσιν κόρην τινὰ, ἣν ὁ ἐμὸς πάππος ἐκάλει θετὴν ἀδελφὴν, ὁ δὲ ἐμὸς πατὴρ θετὴν ámitan, ἐγὼ δὲ μεγάλην θετὴν ámitan. διὰ τοῦτο δὲ ἐπὶ τῆς amítas προσετέθη τὸ τῆς θέσεως, οὐ μὴν ἐπὶ τῆς matertéras, ἐπειδὴ κατὰ ἀρρενογονίαν μοι συναπτομένη ηὑρίσκετο[12]) adgnáta. ἦν δὲ αὐτὴ καὶ cognáta· ὁ γὰρ adgnátos πάντως καὶ cognátos. ἐπὶ δὲ τῆς matertéras ἡ θέσις πάντως οὐκ ἐνεπόδιζε τῷ γάμῳ [matertéra οὖσα][13]). ἐπειδὴ γὰρ ἀπὸ θήλεως[14]) ἐγινώσκετό μοι προσώπου cognáta ἐστίν. ὑποκειμένης δὲ θέσεως οὐδὲ ἓν εἶδος ἔχει πρός με συγγενείας[15]) διὰ τὸν κανόνα τὸν λέγοντα· τὸ ἐν φύσει cognáton ἐν θέσει οὐδὲν εἶναι νομίζεται. ὥςτε[16]) οὖν

---

1) ἐστὶν F. R. λέγεται P. 2) d. P. F. 3) ἐστὶ καὶ F. 4) de. R. 5) ἀποκ. ἀμ. P. 6) de. P. 7) καλῶ add. P. 8) d. R. 9) d. R. 10) ὁ πρὸς π. πάπ. μου R. 11) συμβαίνει R. 12) —ται P. F. 13) pro gloss. exp., R. cum ant edd. —τέρας οὔσης. 14) θηλυγονίας R. 15) ἐπειδὴ τὴν θετὴν ματερτέραν δύναμαι λαβεῖν τουτέστι τὴν μάμμην [l. θείαν] μου τὴν πρὸς μητρὸς, τὴν δὲ θετὴν ἄμιταν οὐ δύναμαι, τουτέστι τὴν μάμμην [l. θείαν] μου τὴν πρὸς μητρὸς. Vi. ed. ant. F. perperam intrudunt. 16) ὡς L1. F. R.

5. iungi matrimonio possunt. 5. Amitam meam (amita est autem patris soror) nequeo uxorem ducere, licet adoptiua sit, set neque materteram (est autem matertera matris soror) quia parentum loco habentur: eademque ratione neque magnam amitam neque magnam materteram, quippe quae auiarum loco habeantur. est autem *magna amita* aui mei soror, quam pater meus amitam appellabat: ego uero magnam amitam uoco. *magna* autem *matertera* soror est auiae mea, quam mater mea materteram, ego autem magnam materteram uoco. dicitur autem de amita non posse me eam uxorem ducere, quamuis adoptiua sit; non uero de matertera. et quomodo fit ut quaedam per adoptionem amita magnaue amita esse incipiat? ut ecce auus meus paternus, qui filium habebat patrem meum, puellam quandam adoptandam suscepit, quam pater meus adoptiuam sororem uocabat, ego autem adoptiuam amitam. quomodo autem quaedam magna amita per adoptionem esse coepit? finge proauum paternum meum, cum filium haberet auum meum, puellam quandam adoptandam suscepisse; hanc auus meus adoptiuam sororem uocasset, pater autem meus adoptiuam amitam, ego demum magnam, adoptiuam amitam. ideo autem in amita tantum adoptionis feci mentionem, non uero in matertera, quia, cum per masculini sexus personam mihi coniungatur, adgnata mihi esse intellegitur, set et cognata: quisque enim adgnatus est ipse prorsus et cognatus. si quae autem per adoptionem mihi matertera esse coeperit, nuptiae prorsus non prohibentur: nam, quippe quae mihi per feminini sexus personas iungatur, cognata mihi erit: set cum talis per adoptionem facta sit, nullam mecum cognationis speciem habet, propter iuris regulam, qua in adoptionem cognatio pro nihilo haberi

μὴ κεκωλυμένου τοῦ γάμου, διὰ τοῦτο οὐκ ἐθεμάτισα θετὴν matertéran. *πῶς*[1]) *συμβαίνει ἐκ θέσεως γίνεσθαι*[2]) matertéran; *οἷον ὁ πάππος μου ὁ πρὸς μητρὸς ἔχων θυγατέρα τὴν ἐμὴν μητέρα ἔλαβεν εἰς θέσιν κόρην τινά, ἣν ἡ ἐμὴ μήτηρ ἐκάλει θετὴν ἀδελφήν, ἐγὼ δὲ θετὴν* matertéran. 6. 6. *Εἰρήκαμεν ἐν τοῖς προλαβοῦσι τοὺς διὰ συγγένειαν κεκωλυμένους γάμους. εἰσὶ δὲ καὶ ἕτεροι οὐ διὰ δεσμὸν συγγενείας διὰ δὲ ἀγχιστείαν μὴ προβαίνοντες. ἀγχιστεία δέ ἐστιν οἰκειότης προσώπων ἐκ γάμων ἡμῖν συνημμένη*[3]) *συγγενείας ἐκτός. οἷον οὐ δύναμαι*[4]) *λαμβάνειν*[5]) *τὴν ἐμὴν προγόνην ἢ νύμφην, ἐπειδὴ θυγατέρων τάξιν ἐπέχουσιν*[6]). *καὶ νύμφη μέν ἐστιν ἡ τοῦ υἱοῦ μου*[7]) *γαμετή, προγόνη δὲ ἣν ἔσχεν ἐξ ἑτέρων γάμων ἡ ἐμὴ γαμετή*[8]).[a]) *δεῖ δὲ προςθῆναι τό »ποτε« καὶ λέγειν· οὐ δύναμαι λαμβάνειν πρὸς γάμον τήν ποτε μου νύμφην ἢ τήν ποτέ μου προγόνην. προστιθέντες γὰρ τό »ποτε« δεικνύομεν μὴ ὑπόντα τὰ πρόσωπα*[9]) *τῆς ἀγχιστείας αἴτια γεγονότα*[10]) *καὶ αἰδοῖ τῆς ἀγχιστείας τὴν συνάφειαν ἐπέχομεν. ἐὰν γὰρ εἴπω τήν ποτέ μου νύμφην, ἔδειξα ὅτι ἐτελεύτησεν ὁ ἐμὸς μὲν υἱὸς*[11]) *αὐτῆς δὲ ἀνήρ. ἐὰν δὲ*[16]) *εἴπω τήν ποτέ μου προγόνην ἔδειξα ὅτι ἐτελεύτησεν ἡ αὐτῆς μὲν μήτηρ ἐμὴ δὲ γαμετή. εἰ γὰρ ἔτι ἡ μέν ἐστι νύμφη ἡ δὲ προγόνη, μείζονι κεκώλυμαι λόγῳ ταύτην ἀγαγέσθαι· εὑρίσκεται γὰρ ἢ ὁ ἀνὴρ δύο γαμετὰς ἢ ἡ γυνὴ δύο ἔχουσα ἄνδρας. ἐαν γὰρ λάβω γυναῖκα τὴν*[17]) *μου νύμφην εὑρίσκεται ἐκείνη ἔχουσα τὸν ἐμὸν παῖδα καὶ ἐμέ· εἰ δὲ τὴν νῦν μου προγόνην, συμβήσεται με*[18]) *δύο γαμετὰς ἔχειν, τὴν νῦν*[19]) *γαμετὴν καὶ τὴν αὐτῆς θυγατέρα τὴν ἐμὴν προγόνην. κεφαλικὴ δὲ*[20]) *ὥρισται τιμωρία κατὰ τῶν*

---

1) *δὲ ἐνταῦθα* add. F. R. 2) *γινέσθαι ἐκ θέσεως* R. 3) *συνημμένων* R. Syn. 4) *ἐγὼ* ins. R. 5) *λαβεῖν* R. 6) *ἔχουσι* R. ceterum haec uerba de. Bas. Syn. Harm. 7) L1. cett. de. Bas. Syn. Harm. aliis uerbis utuntur. 8) *ἡ τῆς ἐμῆς γυναικὸς θυγάτηρ* R. 9) d. P. F. 10) *καὶ ὅμως οὐδὲ οὕτως δύναμαι συναφθῆναι καὶ ἀπογενομένων τῶν προσώπων δι' ὧν ἡ ἀγχιστεία γέγονε* perperam add. R., cui et Bas. refragantur. 11) *μὲν ὁ ἐμ. υἱ.* L1. P. F. 16) *εἰ* Bas. 17) d. G. *νῦν τὴν* L1. P. F. 18) *μοι* R. 19) *μου* ms. R. 20) d. P.

a) Cf. Gai. 1, 63 (Rend. Ist. Lomb. XVI 584).

solet. cum igitur nuptiae non sint prohibitae, exemplum materterae adoptiuae non addidi. et quomodo fit ut aliqua mihi per adoptionem matertera esse incipiat? ut ecce: auus meus maternus, qui filiam habebat matrem meam, puellam quandam adoptandam suscepit, quam mater meus sororem adop-
6. tiuam uocabat, ego autem adoptiuam materteram. 6. Proposuimus in superioribus quae nuptiae propter cognationem impediantur. sunt uero aliae, quae non propter cognationis uinculum, set propter adfinitatem non procedant. adfinitas est autem necessitudo personarum, quae nobis per nuptias citra cognationem iunguntur. ut ecce priuignam aut nurum uxorem ducere non possum, quia filiarum loco sunt. et nurus quidem est uxor filii, priuigna autem, quam ex aliis nuptiis uxor mea peperit. uerbum autem »quondam« addendum est, ut dicatur: nequeo uxorem ducere quae mihi *quondam* nurus aut *quondam* priuigna fuerit. cuius uerbi adiectione significamus iam eas personas non extare, quae adfinitatis auctores fuerint. propter enim adfinitatis respectum nuptias prohibemus. si enim dixero *quondam nurum meam*, satis ostendo meum quidem filium decessisse, eius uero maritum. item si dixero *quondam mihi priuignam*, significo matrem quidem eius, meam uero uxorem mortuam esse. nam si adhuc altera nurus, altera priuigna sit, maiore quadam ratione prohibeor eam ducere uxorem, cum aut uir duas foret uxores habiturus aut mulier duos uiros. nam si nurum meam uxorem duxero, fiet ut illa duos habeat maritos, meum scilicet filium et me; sin autem priuignam, fiet ut ego duas habeam uxores, eam scilicet quam prius habebam eiusque filiam, quae mihi priuigna est. capitalis autem poena est constituta

διπλοὺς γάμους[1]) συνιστώντων. οὐδεὶς οὖν τὴν μείζονα[2]) κώλυσιν ἀφεὶς, λέγω δὴ τὴν κεφαλικὴν τιμωρίαν, τρακταΐζει τὴν ἐλάττονα καὶ λέγει κεκωλύσθαι τὴν συνάφειαν διὰ τὴν τῆς ἀγχιστείας τιμήν. 7. Οὐ δύναμαι λαμβάνειν[3]) τήν ποτέ μου 7.
πενθερὰν ἢ τὴν ποτέ μου μητρυιὰν, ἐπειδὴ[4]) μητρῶν τάξιν ἐπέχουσιν. καὶ πενθερὰ μέν ἐστιν ἡ τῆς ἐμῆς γαμετῆς μήτηρ· μητρυιὰ δὲ[5]) ἡ τοῦ ἐμοῦ πατρὸς γαμετὴ, ἐξ ἧς οὐκ ἐτέχθην. προςτέθεικα δὲ κἀνταῦθα τό »ποτε«, ἵνα δείξω μὴ ὑπόντα τὰ τῆς ἀγχιστείας αἴτια πρόσωπα διὰ τὸ τελευτῆσαι[6]) τὴν ἐμὴν γαμετὴν ἤγουν τὸν ἐμὸν πατέρα. εἰ γὰρ ἔτι ζῶσι, διπλῶς[7]) ἐπεισάγεται γάμου. εἰ γὰρ λάβω τὴν ἐμὴν πενθερὰν, εὑρίσκομαι δύο ἔχων γαμετὰς τὴν πενθερὰν[8]) καὶ τὴν αὐτῆς θυγατέρα. εἰ δὲ τὴν νῦν μητρυιὰν, ἀποτελεσθήσεται ἐκείνη δύο προσώπων γαμετὴ τοῦ πατρός μου καὶ ἐμοῦ[9]) αὐτοῦ. οἶδας δὲ κεφαλικὴν εἶναι τὴν ἐπὶ τῶν διπλῶν γάμων τιμωρίαν. 8. Prî- 8.
mos[10]) ἔχων υἱὸν ἀπὸ Τιτίας ἔλαβε Príman πρὸς γάμον ἔχουσαν θυγατέρα ἀπὸ Τιτίου, ἢ καὶ ἐκ τοῦ ἐναντίου, ὁ μὲν εἶχε θυγατέρα, ὁ δὲ υἱόν. οἱ τούτων παῖδες οἱ ἐν τῇ συνηθείᾳ[11]) λεγόμενοι ἀλληλοπρογόνοι καλῶς ἀλλήλοις συνάπτονται, εἰ καὶ τὰ μάλιστα ἀδελφὸς ἢ ἀδελφὴ αὐτοῖς τεχθείη ἐκ τοῦ συστάντος[12]) μετὰ τὴν αὐτῶν γέννησιν γάμου. 9. Ἡ ἐμὴ γαμετὴ τὸν 9.
πρὸς ἐμὲ repudíῳ[13]) διαλύσασα γάμον ἀνδρὶ δευτέρῳ συνήφθη· ἔσχεν ἐκ τούτου θυγατέρα. ζητοῦμεν εἰ τὴν ἐξ αὐτῆς θυγατέρα δύναμαι[14]) λαβεῖν. καί φησι[15]) μὴ εἶναι μὲν αὐτὴν προγόνην ἐμὴν[16]). προγόνη[17]) γάρ ἐστιν ἡ πρὸ[18]) τῶν ἐμῶν τεχθεῖσα γάμων. πλὴν διὰ τὸ εὐπρεπὲς ἀπέχεσθαι δεῖ με τῆς πρὸς αὐτὴν συναφείας. καὶ γὰρ ἡ γενομένη μνηστὴ τοῦ ἐμοῦ

---

1) διπλοῦν γάμον R. 2) κόλασιν Vi. ed. ant F. 3) λαβεῖν P. R. hunc §. Bas. cum Harm. artius ita reddunt: οὐδὲ τὴν πενθεράν μου ἢ τὴν μητρυιάν μου, ἐπειδὴ μητέρων τάξιν ἐπέχουσιν, quae ex alia Inst. uersione forsan excerpta sunt. 4) ἐπεὶ R. 5) d. G. 6) —τᾶν P. 7) δίττωσις P. 8) μου ins. P. 9) δὲ L1. 10) L1. cett. graecis litt. Πατρῖμος . . . Πατρῖμαν Vi. R. 11) τῷ συνήθει R. 12) συνιστάντος G. 13) ita scrib. L1. 14) πρὸς γάμον ins. F. qui et λαμβάνειν habet. 15) L1. cet. φημε. 16) d. R. 17) μὲν add. F. 18) πρὸς F.

in eos qui binas contrahant nuptias. nemo enim, maiore ne-
glecto impedimento, idest poena capitali, minus considerat ac
7. dicit propter adfinitatis respectum eos coire non posse. 7.
Non possum eam uxorem ducere, quae mihi quondam socrus
aut nouerca fuerit, quia matris loco est. et socrus quidem
est meae uxoris mater, nouerca autem patris mei uxor, ex
qua non sum ego natus. hic quoque addidi »quondam«, ut
significem personas non extare, quae cognationis auctores fue-
rint, cum uxor mea paterue meus mortuus sit. nam si adhuc
uiuerent, nuptias geminari contingeret. si enim socrum meam
uxorem duxero, duas habere uxores uidebor, socrum scilicet
eiusque filiam; sin autem nouercam, ipsa duos habere mari-
tos intellegetur, patrem meum et me metipsum. nosti autem
8. capitalem poenam binarum nuptiarum esse constitutam. 8.
Primus qui filium ex Titia habuerat, Primam uxorem du-
xit, quae filiam ex Titio habuerat, aut ex contrario alter
filiam habebat, altera filium. horum filii, qui apud Graecos
uulgo ἀλληλοπρόγονοι audiunt, recte inuicem coniunguntur, li-
cet frater sororue ipsis nascatur ex matrimonio, quod post
9. eos natos contractum est. 9. Uxor mea cum diuortium a
me fecisset, alteri uiro nupta est, ex quo filiam habuit. quae-
ritur an filiam ex ea natam uxorem ducere possim? et ait
[Iulianus] illam quidem priuignam meam non esse, cum illa
priuigna sit quae ante nuptias meas sit procreata; set ho-
nestius esse eiusmodi nuptiis me abstinere. nam et sponsa

παιδὸς οὐ γέγονέ μου νύμφη, γάμου μὴ παρακολουθήσαντος,
οὐδὲ ἡ τοῦ πατρός μου μνηστὴ γέγονέ μου μητρυιὰ τῶν γά-
μων ἐμποδισθέντων. καὶ ὅσον ἐκ τῶν εἰρημένων ἠδυνάμην
ταύτην λαμβάνειν[1]) πρὸς γάμον, ἀλλὰ κἀνταῦθα διὰ τὸ εὐπρε-
πὲς ἐπαινεῖ ἡμᾶς[2]) Iulianòs τοῖς τοιούτοις μὴ προσιόντας[3]) γά-
μοις. 10. Ἆρα δὲ ἡ συγγένεια ἡ ἐν δουλείᾳ ἐμποδὼν γένε- 10.
ται τῷ γάμῳ; οἷον συνηλευθερώθη τίς τῇ οἰκείᾳ θυγατρὶ ἢ
τῇ[4]) οἰκείᾳ ἀδελφῇ· ζητοῦμεν εἰ ἐπιτέτραπται γάμος γίνεσθαι
αὐτῶν[5]) μεταξύ. καὶ ὅσον μὲν κατὰ τὴν ἀκρίβειαν οὐ νομίζε-
ταί τις μεταξὺ αὐτῶν εἶναι συγγένεια· πλὴν διὰ τὸ τοῦ αἵμα-
τος δίκαιον, ὅ ἐστι ius sanguinis[6]), ἡ συνάφεια κεκώλυται. 11. 11.
Ἐστὶ δὲ καὶ ἑτέρα πρόσωπα, ἅτινα διαφόρων αἰτιῶν χάριν οὐ
δύναμαι λαβεῖν[7]) πρὸς γάμον. ταῦτα δὲ ἐν τοῖς Digéstois[8])
ἤτοι[9]) τῷ Πανδέκτῃ[10]) ἐκ πολλῶν ἀρχαίων συναχθέντα[11]) ἐγ-
γραφῆναι ἐπέτρεψεν ὁ θειότατος ἡμῶν βασιλεύς[12]). 12. Εἰ 12.
δέ τις ὑπεναντία[13]) τῶν εἰρημένων ἀγάγηταί τινα πρὸς γάμον
οὐκ αἰσχυνθεὶς τὴν τῶν ἀνιόντων ἢ κατιόντων συγγένειαν, οὐδὲ
τὰ ἐκ πλαπίου κεκωλυμένα πρόσωπα, οὐδὲ ἐν νῷ λαβὼν[14]) τὴν
ἐκ τῆς ἀγχιστείας κώλυσιν, καταφρονήσας δὲ καὶ τῶν συνελευ-
θερωθέντων συγγενῶν, οὔτε αὐτὸς[15]) ἀνὴρ, οὔτ' ἐκείνη γα-
μετὴ κληθήσεται, ἀλλ' οὐδὲ γάμος τὸ πρᾶγμα, οὐδὲ προῖξ τὸ
ἐπιδιδόμενον[16]). ἀλλ' ἐπειδὴ ταῦτα τῶν ἀκολάστων ἐπισχεῖν
οὐ δύναται τὴν προαίρεσιν, μείζονα ποινὴν ἐπιτίθησιν[17]) ὁ νό-
μος. λέγει γὰρ τοὺς ἐκ[18]) τοιαύτης συναφείας τικτομένους
ὑπεξουσίους μὴ γίνεσθαι τῷ πατρὶ, καὶ οὓς ἡ φύσις ἐδωρή-
σατο, ὁ νόμος ἀγνοεῖ, ὡς μὴ κατὰ τὴν αὐτοῦ τεχθέντας προαί-
ρεσιν. ἀλλ' ὅσον ἀνήκει εἰς τὴν τοῦ πατρὸς ὑπεξουσιότητα
τοιοῦτοί εἰσιν ὁποίους εἶναι συμβαίνει τοὺς ἀπὸ πορνείας συλ-

---

1) λαβεῖν P. 2) ἡμῖν R. 3) προσιέναι R. 4) uerba οἰκείᾳ — τῇ d. R. 5) ἀναμεταξὺ P. R. 6) iuris sanguinis P., qui et ὅπερ l. pro ὅ. 7) λαμβάνειν L1. F. 8) L1. 9) ἤγουν R. 10) —κτῳ edd. ant F. 11) —ντι P. 12) ὁ θ. ἡμ. ἐπ. β. F. 13) ὑπεναντίον R. ἀπ' ἐναντίας F. ἐπεναντίον G. 14) τὴν τῆς R. 15) de. L1. F. 16) διδόμ. P. 17) —θεται P. 18) τῆς add. F.

filii mei nurus mihi non est facta, cum nuptiae non fuerint secutae; neque patris mei sponsa nouerca mihi facta est, nuptiis non secutis, ita ut quod ad ea, quae in superioribus sunt proposita, eas uxores ducere possim. set hic quoque honestatis ergo hortatur nos Iulianus eiusmodi nuptiis absti-
10. nere. 10. An illa quoque cognatio, quae in seruitute est contracta, nuptiis impedimento est? ut ecce quis cum filia sua uel sua sorore manumissus est: uideamus an nuptias inter eos fieri permittatur. et quod ad iuris suptilitatem non intellegitur ulla esse inter eos cognatio, set propter ius san-
11. guinis coniunctio prohibetur. 11. Sunt aliae quoque personae quas propter diuersas rationes nequeo uxores ducere, quas in Digestis seu Pandectis ex multis ueteribus collectas
12. sanctissimus princeps noster enumerari permisit. 12. Si quis aduersus ea quae diximus quandam mulierem uxorem duxerit, neque parentum uel liberorum cognationem ueritus, neque eam, quae ex transuerso est, neque adfinitatis impedimentum reputans, uel etiam seruili cognatione posthabita, neque ipse uir, neque illa uxor uocabitur, neque nuptiae id quod factum est, neque dos, quod datum est. set cum haec ad hominum flagitiosorum libidinem coercendam non sufficiant, maiorem quandam poenam lex inrogauit. cautum est enim ne qui ex eiusmodi coitu nascantur in potestate patris sint; et quos natura donauit, ius ignorat, utpote qui contra eius placita nati sint. sed quod ad parentis potestatem attinet, tales hi habentur, quales qui uulgo concepti sunt. neque isti

[illegible]¹) οὐδὲ οἱ [illegible]²) πατέρα³) ἔχειν νο-
[illegible] οὗτός ἐστι⁴) [illegible] τὸ πλῆθος τῶν μιγνυ-
[illegible] τούτους spurius⁵) καλεῖν ἢ ἀπὸ ἑλληνι-
[illegible] σποράδην concepti, οἷα⁶) σποράδην συλλη-
[illegible] sine patre filii⁷), ἐπειδὴ παῖδές εἰσιν ἀπάτο-
[illegible]⁸) οὖν ἐστι [illegible] τῆς τοιαύτης διαλυθείσης
[illegible] γίνεσθαι [illegible]. οἱ δὲ τοὺς ἀθεμί-
[illegible] γάμους οὐ [illegible] τὰς εἰρημένας ὑφίστανται
[illegible] γὰρ καὶ [illegible]¹⁰), ἃς ἐκ τῶν βασιλικῶν
[illegible] διατάξεων. 13. Ἔστι δὲ ἰδεῖν πότε¹¹) τις ἅμα 13.
[illegible] οὐκ ἔστιν in potestate τοῦ πατρός, μετὰ δὲ
[illegible] γίνεται in potestate. καὶ ποῖος οὗτός ἐστιν; ἐμιγνύ-
[illegible] γυναικί τινι¹²), πρὸς ἣν νόμιμον οὐκ ἐκωλυόμην συστῆ-
[illegible] γάμον· [illegible] δὲ αὐτῇ οὐχ ὡς γαμετῇ ἀλλ' ὡς
[illegible] ἐτέχθησαν παῖδες ἐντεῦθεν· οὐκ
[illegible] τυχὸν ἢ [illegible] μὴ προηγεῖσθαι¹⁴), ἀλλ' ἐστὶ
[illegible] in potestate [illegible] μετὰ ταῦτα εἰς βουλευτή-
[illegible] ὁ παῖς [illegible]. τὸ δὲ αὐτό ἐστιν εἰ καὶ συ-
[illegible] γενήσεταί μοι in potestate. [illegible] ἣν ἔχειν με γυναῖκα
[illegible] οὐχ ὡς γαμετῇ, ἐκώλυσεν ἔλλειψις· ἐτέχθη
[illegible] ὁ νόμος [illegible] τῆς [illegible]θέσεως εἰ δὲ μετὰ ταῦτα, καθὼς¹⁵) εἰρη-
[illegible] οὐκ ἔστιν in potestate. [illegible] ἡμῶν βασιλέως, προικῷα γέ-
[illegible] διατάξεως [illegible] οἱ προτεχθέντες τῶν προικῴων,
[illegible] πρὸς [illegible] εἴ τινας συμβαίνῃ¹⁷) τεχθῆναι, ὑπε-
[illegible] καὶ οἱ μετὰ ταῦτα [illegible] κατὰ τὰ περιεχόμενα τῇ τοῦ θειοτά-
[illegible] μου¹⁸) [illegible]
[illegible] ἡμῶν [illegible] διατάξει.

1) [illegible] 2) [illegible] ex P, cett. οὗτοι. 3) — έρας P. R. [illegible] P. 5) L¹. 6) οἷον R. 7) ἤτοι ins. P. [illegible] P. R. 9) ἐφίστ. P. 10) d. L¹. P. ἤτοι F. [illegible] R. [illegible] habet. 12) μ. τ. δὲ R. 13) τινὶ γ. [illegible] ὅτι [illegible] R. [illegible] P. 15) καθὰ P. R. κατὰ F. 16) εἰ- P. R. [illegible] 17) [illegible] P. R. 18) μου P. [illegible]

enim patrem habere intelleguntur, quippe qui propter coeuntium multitudinem incertus sit, set spurii uocari solent: uel a graeca uoce quasi *σποράδην* concepti uel quasi sine patre filii. sequitur ergo ut et dissoluto tali coitu, neque dotis exactio fieri possit. qui autem prohibitas contrahunt nuptias non solum praedictas poenas patiuntur, set alias quoque, quae
1) d. F. 2) *ποῖειν* R. 3) *δὲ* omisi cum P. 4) *καὶ* F. *τοῦτο δὲ καν. ὀφ. εἰδ.* R. 5) *περὶ ἐπιτρόπων* add. libri. 6) *καὶ ἡ θέσις ποιεῖ τουτέστιν ὑπεξουσίους παῖδας* P. *ἤγουν καὶ ἡ θέσις* [*ποιεῖ ὑπεξουσίους*] R. 7) *αὐτῶν* R.

a) Epi. 5, 5. Proch. 26, 7. b) haec uerbotenus reddit Epi. 36, 1 sq.

tunc in auum ius potestatis transfertur. in hoc enim casu
plenissimum robur adoptionem habere diximus atque in
9. adoptantis potestatem adoptatum redigere. 9. Erat cuidam fi-
lius in potestate, qui uxorem praegnatem haberet. filium
emancipauit aut auo adoptandum dedit; deinde nepos natus
est: quaeritur cuius erit puer in potestate, utrum aui an pa-
tris. et magis est ut in potestate aui sit; in legitimis enim
nuptiis conceptionis tempus spectamus: cum autem uxor
praegnas facta est, in potestate erat filius, qui eum genuit,
et ideo merito in aui naturalis potestate erit. si uero post
emancipationem aut adoptionem nepos conceptus sit, patris
10. sui aut aui adoptiui potestati subicietur. 10. Admonendi
autem sumus filium, qui in mea est potestate, siue natura-
lem siue adoptiuum nullo modo me cogere posse ut eum
emancipem.

De tutelis. Titulus 13.

Diximus hominum quosdam seruos esse, quosdam liberos et liberorum quosdam ingenuos quosdam libertinos; diximus et alteram diuisionem, quosdam esse sui iuris, quosdam alieni iuris. cum igitur de potestate dixerimus, quam in seruos habemus uel quam in filios aut iustae nuptiae nobis praestant aut adoptiones, et cum quemadmodum soluantur exposuerimus, transeamus ad aliam diuisionem. nam ex his

*ονται, οἱ δὲ κουρατορεύονται, οἱ δὲ οὐδὲ ἐπιτροπεύονται οὐδὲ
κουρατορεύονται. ἀλλ' ἐπειδὴ πολλοί εἰσιν οἱ μηδετέρου με-
τέχοντες*[1]*, εἴπωμεν τοὺς ἐπιτροπευομένους καὶ κουρατορευομέ-
νους. οἱ γὰρ*[2]*) μὴ ὄντες ἐν τούτοις δηλονότι ἐν ἐκείνοις εἰσίν.
καὶ πρότερον σκοπήσωμεν περὶ τῶν ὑπὸ ἐπιτρόπων τελούντων.*[3]
*τέως δὲ ὀφείλεις εἰδέναι, ὅτι ἀλλότριον ὑπεξουσίων ἐστὶ τὸ
ἐπιτροπεύεσθαι, ἴδιον δὲ τῶν αὐτεξουσίων.* 1. *Καὶ τέως ὁρι-* 1.
σώμεθα τί ἐστιν ἐπιτροπή. ἐπιτροπή ἐστιν, ὡς ὁ Séruios[4]
ὁρίζεται,[a] *δίκαιόν τι καὶ ἐξουσία κατ' ἐλευθέρας κεφαλῆς δι-
δομένη καὶ πρὸς ἀσφάλειαν αὐτῆς ἐπινενοημένη*[5] *ἢ διὰ τὸ τῆς
ἡλικίας ἀτελὲς*[6] *οὐ δυναμένης*[7] *αὐτῆς ἑαυτῇ προϊστάναι ἐκ τῆς
πολιτικῆς ἀκριβείας ἐπιτετραμμένη.* 2. *'Επίτροποι τοίνυν εἰσὶν* 2.
*οἱ τὴν εἰρημένην δύναμίν τε καὶ ἐξουσίαν ἔχοντες, οὓς ἀνάγκη
πρόνοιαν ποιεῖσθαι τοῦ νέου καὶ τὰ τούτου φυλάττειν πράγματα.
ἐξ αὐτοῦ δὲ τοῦ ὑπ' αὐτῶν πραττομένου τὴν προσηγορίαν ἐδέ-
ξαντο. εἴρηνται γὰρ ῥωμαϊστὶ* **tutores quasi tuitores** *τινὲς ὄν-
τες, ὡσανεὶ ἐν ἀσφαλεστέρᾳ τάξει τιθέμενοι τὰ τοῦ νέου πράγ-
ματα καὶ πανταχόθεν αὐτὸν* defendeúontes *ὥςπερ* aeditores[8]
λέγονται οἱ ἱερεῖς quasi qui[9] aedes tuentur[10]*, οἵτινες τοὺς
ναοὺς ἀσφαλίζονται.* 3. *Εἴπωμεν δε*[11] *κατὰ πρώτην τάξιν τί-* 3.
*νες τίσι καταλιμπάνουσιν ἐπιτρόπους. ἐπιτρόπους καταλιμπά-
νουσι τοῖς ὑπεξουσίοις*[12] *οἱ πατέρες ἐν διαθήκῃ, καίτοι πρὸ
βραχέως εἶπας*[13]*, ὅτι ἀλλότριον ὑπεξουσίων ἦν τὸ ἐπιτροπεύε-
σθαι. ἀλλ' ὀφείλεις εἰδέναι ὅτι καταλιμπάνονται μὲν ὑπεξου-
σίοις οὖσι τοῖς παισίν, μετὰ δὲ τὴν τελευτὴν τοῦ πατρός, ὅτε
γένωνται οἱ παῖδες αὐτεξούσιοι. τότε γὰρ καὶ ἰσχύει*[14] *τὰ ἐν*

---

1) *τουτέστι μηδὲ ἐπιτροπίας μηδὲ κουρατορείας* P. 2) *δὲ* Vi. R. 3) *ἐπιτροπευομένων* Vi. 4) *ὁ ῥέσδος* Epi. 5) *ἐπι-νοουμένη* Harm. 6) *ἢ διὰ τὸ τῆς ἀπραγίας. ἀληθὲς* b) Harm. item Epi. 36, 2, quae l. *εὐπραγίας.* 7) *ἀδυνατούσης* P. 8) »aeditui« Vi. R. et Inst. lat. set »aeditores« tum L[1]. L[2]. P., tum et paris. legunt, ut F. testatur. 9) qui F. R. cuasi L[1]. L[2]. 10) *τουτέστιν* add. Vi. R.: *ἤτοι ἱερεῖς ἐπίτροποι* add. L[2]. 11) d. Vi. R. 12) *παισὶν* add. Vi. R. 13) *εἴπομεν* Vi. R. 14) *ἰσχύσει* P. F. R.

a) haec habet Harmenop. 5, 11. 1. Gloss. nom. sub uoc. b) *ἤθες* cj. Schulting ad. Gloss.

personis quae in potestate non sunt quaedam in tutela sunt, quaedam in curatione, quaedam neque in tutela neque in curatione. set cum plures sint qui neutro iure teneantur, dispiciamus de his, qui in tutela uel curatione sunt, qui enim in his non sunt, patet in illis esse. ac prius uideamus de his, qui in tutela sunt. in primis enim admonendus es filiosfamilias in tutela nunquam esse, nam id in sui iuris per-
1. sonis tantum receptum est. 1. Et in primis definiamus quid tutela sit. tutela est, ut Seruius definiuit, ius ac potestas in capite libero data et ad id tuendum excogitata, uel propter aetatis imbe-
2. cillitatem, quae se defendere nequeat, iure ciuili permissa. 2. Tutores igitur sunt, qui talem uim ac potestatem habent, et curam pupilli gerere debent eiusque bona seruare. ex eo autem officio quo funguntur nomen ceperunt. dicuntur autem latine t u t o r e s, quasi tuitores, idest qui res pupilli tutius seruent eumque prorsus defendant. sicuti aeditui dicuntur
3 sacerdotes qui aedes tuentur. 3. Et primum uideamus qui quibus tutores relinquant. tutores relinquunt parentes liberis suis, quos in potestate habent, in testamento. neque obstat quod antea dictum est filiosfamilias nunquam in tutela esse; sciendum est enim relinqui quidem tutorem filiisfamilias, set qui post mortem patris tutor esse incipiat, scilicet cum filii sui iuris facti sint: tunc enim quae testamento continen-

τῇ διαθήκῃ γεγραμμένα, ὥςτε οὖν καταλιμάνουσιν οἱ πατέρες παισὶν ὑπεξουσίοις ἀνήβοις ἐπιτρόπους[1]) ἐν διαθήκῃ τοῦτο μὲν ἄρρεσι τοῦτο δὲ θηλείαις. ἐκγόνοις δὲ καὶ[2]) ἐκγόναις τότε[3]) δυνατὸν καταλιμπάνειν, ἡνίκα μετὰ τὴν τοῦ πάππου τελευτὴν οὐ μέλλουσιν οὗτοι μεταπίπτειν εἰς τὴν τοῦ οἰκείου πατρὸς ὑπεξουσιότητα. ὥςτε οὖν ἐάν τις ἔχῃ υἱὸν ὑπεξούσιον καὶ ἐκ τούτου ἔκγονον, καταλείψῃ δὲ τῷ ἐκγόνῳ ἐπίτροπον ἐν διαθήκῃ, εἰ μὲν ἐν τῷ καιρῷ τῆς τοῦ διαθεμένου τελευτῆς ὁ μέσος ἔμεινεν ἐν τῇ ὑπεξουσιότητι, οἱ ἔκγονοι οὐκ ἐπιτροπευθήσονται ὑπὸ τοῦ testamentaríu ἐπιτρόπου. ὑπεξούσιοι γὰρ γινόμενοι μετὰ τὴν τελευτὴν τοῦ πάππου[4]) τῷ οἰκείῳ πατρὶ οὐδενὶ λόγῳ ἐπιτροπευθήσονται. εἴρηται γὰρ ἀλλότριον εἶναι τῶν ὑπεξουσίων τὸ ἐπιτροπεύεσθαι. εἰ δὲ συνέβη τὸ μέσον πρόσωπον εὑρεθῆναι κατὰ[5]) τὸν καιρὸν τῆς τελευτῆς αὐτεξούσιον, τότε, ἐπειδὴ ὁ τοῦ πάππου θάνατος τὸν ἔκγονον αὐτεξούσιον ἀποδείκνυσιν, ἡ δόσις ἔρρωται τῆς ἐπιτροπῆς εἰς αὐτεξουσίου πρόσωπον λοιπὸν προϊοῦσα.[6]) 4. Καὶ ὅτι μὲν τοῖς ἐν φύσει παισὶ δυνάμεθα 4. καταλιμπάνειν ἐπίτροπον πρόδηλον. ἆρα δὲ καὶ τοῖς postúmois; postûmoi δέ εἰσιν οἱ μετὰ τὴν ἡμετέραν τικτόμενοι τελευτήν. καὶ λέγομεν ὅτι καὶ πάνυ, ἐπειδήπερ ἐν πολλοῖς θέμασιν ἀντὶ τῶν ἤδη τεχθέντων παραλαμβάνονται. τότε δὲ καλῶς τοῖς postúmois ἐπίτροποι δίδονται, ἡνίκα ἤμελλον[7]) εἴγε ζώντων ἡμῶν ἐτέχθησαν[8]) ὑπεξούσιοι[9]) ἡμῖν εἶναι ὑφ' ἑτέρου μὴ προλαμβανόμενοι[10]), ὅτις καὶ λέγεται sûos.[11]) 5. Εἰ δὲ emancipátῳ 5. παιδὶ καταλείψῃ πατὴρ testamentárion ἐπίτροπον, οὐκ ἔρρωται μὲν ἡ δόσις κατὰ τὴν πολιτικὴν ἀκρίβειαν διὰ τὸ λελέχθαι ὑπεξουσίοις μόνοις[12]) testamentaríus ἐπιτρόπους δίδοσθαι. ὁ δὲ praétωr ἤτοι ὁ ἄρχων τὴν τοῦ τελευτήσαντος γνώμην ἀναπληρῶν τὴν τοιαύτην confirmateúei δόσιν sine inquisitione τουτέστιν οὐκ ἐπιζητήσας πότερον εὔπορος ᾖ ἢ[13]) τῶν

1) —οπον F. R. 2) δὲ καὶ d. P. 3) δὲ add. P., qui δύναται l. 4) μετὰ τὴν τ. π. τελ. F. R. 5) μετὰ P. R. 6) εἰς αὐτεξούσιον προϊοῦσα Vi. R. 7) —λεν L1. L2. F2. 8) —ησεν F1. —χθῃ L1. L2. F2. 9) —ιος L1. L2. F. 10) —ος L1. L2. F. 11) οἵτινες καὶ λέγονται σοῦοι R. 12) ὑπ. μ. P. 13) καὶ add. P. F.

tur ualere incipiunt. itaque relinquunt parentes tutorem liberis suis impuberibus, siue masculis siue feminis. nepotibus autem neptibusque ita demum licet tutorem relinquere, si post mortem aui in sui patris potestatem non sint recasuri. itaque si quis filium in potestate habeat atque ex eo nepotem, relinquat autem nepoti tutorem in testamento, si testatoris mortis tempore media persona in eius manseri potestate, nepotes testamentarium tutorem non habebunt· post enim aui sui mortem in patris sui potestatem recident, ideoque nullo iure tutore utentur, cum iam dictum sit filiosfamilias nunquam in tutela esse. sin autem media persona mortis testatoris tempore sui iuris sit, tunc aui mors nepotem sui iuris efficit, atque tutoris datio ualet, utpote quae in patrefamilias
4. procedat. 4. Liberis autem nostris qui in rerum natura sunt posse nos tutorem relinquere manifestum est; an etiam postumis? postumi autem sunt qui post mortem nostram nascuntur. et dicimus posse, cum in compluribus causis pro iam natis habeantur recte autem tutores postumis tunc dantur, si in ea causa sint ut si nobis uiuis nascerentur in nostra fierent potestate,
5. idest sui, nemine praecedente. 5. Sin autem emancipato filio pater in testamento tutorem relinquat, non ualet quidem datio secundum iuris suptilitatem, quia dictum est iis tantum qui sui iuris sint tutores in testamento relinqui posse: praetor uero aut praeses prouinciae defuncti uoluntatem adimplet atque eiusmodi dationem sine inquisitione confirmat, ni-

δυναμένων τὰ τοῦ νέου διοικεῖν ἐστι[1]) *πράγματα, ἀρκούσης αὐτῷ πρὸς τελειοτάτην τούτων παράστασιν τῆς τοῦ τελευτήσαντος μαρτυρίας.*

Qui testamento tutores dari possunt.[2]) Titulus 14.

Εἰπόντες τίνες καταλιμπάνουσιν ἐπιτρόπους[a]) *μάθωμεν καὶ τίνας οἷόντε καταλιμπάνειν. καταλιμπάνομεν οὐ μόνον αὐτεξουσίους ἀλλὰ καὶ ὑπεξουσίους.*

1. *Καὶ τὸν ἡμέτερον οἰκέτην ἐν τῇ διαθήκῃ* cum libertate[3]) *ὀρθῶς ἐπίτροπον δίδομεν. εἰ δέ κατέλιπον μὲν τὸν οἰκετην ἐπίτροπον*[4]) *τῷ ἐμῷ παιδὶ, ἐλευθερίαν δὲ αὐτῷ οὐ προέγραψα, ἀλλὰ τὸ λεγόμενον* sine libertate[5]) *αὐτὸν κατέλειπον ἐπίτροπον, διὰ τὴν περὶ τοὺς ἀνήβους σπουδὴν ἤρεσε σιωπηρὰν ἐλευθερίαν* diréctan[6]) *ἁρμόζειν αὐτῷ καὶ διὰ τούτου τὴν ἐπιτροπὴν ἰσχυροποιεῖσθαι. διὰ τοῦτο δὲ εἶπον* diréctan *ἐλευθερίαν, ἵνα ἅμα τῇ τελευτῇ τοῦ διαθεμένου*[7]) *ἀνεμποδίστως ὁ οἰκέτης τῆς δουλείας ἀπαλλαγεὶς*[8]) *ἀντιλάβηται τῆς ἐπιτροπῆς. εἰ γὰρ ἦν* fideicommissaría, *ἐδεῖτο τῆς ἀπὸ τοῦ* pupíllu *ἐλευθερίας. τί δὲ τοῦτό ἐστιν ἀναγκαῖον σαφέστερον εἰπεῖν. ἔχε δὲ ταῦτα ὡς ἐν προθεωρίᾳ. ἔστι διαθήκῃ ἐντυχόντα εὑρεῖν διάφορα ῥήματα. ἐστὶ γάρ τινα δι' ὧν γράφομεν κληρονόμον, ἕτερα δι' ὧν ληγατεύομεν, ἄλλα δι' ὧν ἐπίτροπον*[9]) *δίδομεν, ἄλλα δι' ὧν ἐλευθερίαν καταλιμπάνομεν, ἄλλα δι' ὧν* fideicómmisson[10]) *ἢ* fideicommissarían *ἐλευθερίαν ἐῶμεν. γράφομεν*[11]) *κληρονόμον λέγοντες* illum heredem esse 1.

---

1) *ἐστι δ.* P. *ἐστι* d. Vi. R. 2) *τίνες ἐπίτροποι δεδόσθαι ἐν ταῖς διαθήκαις δύνανται* F. *τίνας δεῖ δωρεῖσθαι ἐν τῇ διαθ. δύνανται* L¹. L². *τίνας δίδοσθαι* cet. Vi. R. 3) *τουτέστι μετὰ ἐλευθερίας* L². P. Epi. 4) d. P. 5) *ἤγουν ἀπελεύθερον* add. P., *ἤγουν χώρις ἐλευθερίας* Vi. R. 6) *τουτέστιν ὀρθὴν* P. 7) *διατιθεμ.* R. 8) *—γῇ καὶ* P. 9) *—όπους* P. R. 10) *φιδεικόμμισσα* P. 11) *μὲν* add. P.

a) Epi. 36, 3.

hil inquirens an locuples sit an pupilli res administrare possit, cum ei ad plenissimam probationem defuncti sufficiat iudicium.

Qui dari tutores testamento possunt. Titulus 14.

Cum dixerimus qui tutores relinquere possint, uideamus qui relinqui possint. dare autem possumus non solum pa-
1. tresfamilias, set etiam filiosfamilias. 1. Set et seruum nostrum in testamento cum libertate recte tutorem damus. si uero seruum quidem tutorem filio meo dederim, libertatem autem ei non adscripserim, set sine libertate eum tutorem reliquerim, placuit fauore pupillorum directam ei competere libertatem et per hoc recte tutorem esse datum. ideo autem »*directam libertatem*« ei competere dixi ut simul atque moriatur testator, sine ullo impedimento seruus liber factus tutelam suscipiat. nam si fideicommissaria esset, manumissione a pupillo facta opus esset. Quid autem id sit, apertius dicendum est. haec ante omnia habeas perspecta. inueniuntur in testamentis uerba diuersa; sunt enim quaedam quibus heredem instituimus, alia quibus legamus, alia quibus tutorem damus, alia quibus libertatem relinquimus, alia quibus fideicommissa aut fideicommissariam libertatem relinquimus. instituimus autem heredem his uerbis: *illum heredem esse*

iubeo,[1]) τόνδε κληρονόμον εἶναι κελεύω, καὶ καλεῖται τοῦτο ἔνστασις κληρονόμου.[2]) ληγατεύομεν δὲ οὕτως· illi[3]) lego decem solidos, τουτέστι τῷδε ληγατεύω ι νομίσματα, καὶ λέγεται ληγάτου δόσις. ἐπίτροπον[4]) οὕτως· illum filio meo tutorem do, τουτέστι τόνδε τῷ ἐμῷ υἱῷ[5]) ἐπίτροπον δίδωμι. καὶ λέγεται ἐπιτρόπου δόσις. ἐλευθερίαν καταλιμπάνομεν οὕτως· ille seruus meus liber esto, τουτέστιν ὁ δεῖνα ὁ ἐμὸς οἰκέτης ἐλεύθερος ἔστω· καὶ λέγεται ἐλευθερίας δόσις. ταῦτα δὲ πάντα τὰ ῥήματα λέγεται diręcta.[6]) καταλιμπάνομεν δὲ καὶ ἑτέροις ῥήμασι χρήματα οὕτως· rogo te heres ut des illi decem solidos, τουτέστι, παρακαλῶ σε ὦ κληρονόμε ἵνα δῷς τῷδε ι νομίσματα.[7]) καὶ λέγεται fideicómmisson.[8]) ἐλευθερίαν δὲ[9]) οὕτως καταλιμπάνομεν· rogo te heres ut illum seruum[10]) meum manumittas, τουτέστι, παρακαλῶ σε ὦ κληρονόμε ἵνα ἐλευθερώσῃς τόνδε μου τὸν οἰκέτην. καὶ λέγεται αὕτη δόσις fideicommissarías ἐλευθερίας. τὰ δὲ ῥήματα ταῦτα δι' ὧν fideicómmisson ἀποτελεῖται λέγεται precária, τουτέστι παρακλητικά. ὥςτε οὖν ἐλευθερίαν καταλιμπάνομεν διὰ μὲν τοῦ »esto« diréctan, διὰ δὲ τοῦ »rogo« precarían ἤτοι fideicommissarían.[11]) διαφορὰ δὲ τῶν δύο ἐλευθεριῶν αὕτη, ὅτι ἡ μὲν direćta ἅμα τῷ τὸν ἐνσταθέντα[12]) κληρονόμον καταδέξασθαι τὴν κληρονομίαν ποιεῖ τὸ ἑαυτῆς καὶ τὸν οἰκέτην ἀπαλλάττει τῆς δουλείας, ἡ δὲ precaría δεῖται καὶ φάκτου τινὸς τοῦ κληρονόμου, τουτέστιν ἵνα ἐλευθερώσῃ αὐτὸν ἐπὶ ἄρχοντος ἢ δι' ἑνὸς τῶν ἀνωτέρω εἰρημένων τρόπων. ἐπειδή σοι ταῦτα προτεθεώρηται ὅρα λοιπὸν τὸ προκείμενον. εἴρηται δὲ[13]) ἡμῖν ὅτι ἐὰν τὸν οἰκέτην τὸν ἐμὸν sine libertate καταλείψω ἐπίτροπον τῷ ἐμῷ παιδί, direćta αὐτῷ σιωπηρῶς καταφέρεται ἐλευθερία. διὰ τοῦτο δὲ direćta, ἵνα μὴ δεηθῇ φάκτου τοῦ κληρονόμου, ἀλλ' ἐξ αὐτῆς τῆς διαθή-

---

1) L¹.: cett. addunt τουτέστι. 2) οὗτος ἔνστατος κληρονόμος P. 3) huic R. 4) —πος P. δίδομεν add. F. R. 5) υἱῷ μου P. 6) τουτέστιν ἀπεσταλμένα add. L². 7) νομίσματα δέκα P. F. R. 8) —σσάριος P. 9) ita P., R. ἐλευθερίαν οὕτως cett. καὶ ἐλευθ. οὕτ. 10) seruum illum Vi. R. 11) de. Vi. R. 12) d. ἔνστατον Vi. R. 13) d. P.

iubeo; quae heredis institutio uocatur. legamus autem ita: illi lego decem solidos, quae dicitur legati datio. tutorem damus ita: illum filio meo tutorem do, quae dicitur tutoris datio. libertatem ita relinquimus: ille seruus meus liber esto, quae dicitur libertatis datio. haec autem omnia uerba directa dicuntur; aliis autem quoque uerbis ita relinquimus legatam: rogo te heres ut des illi X solidos, idque uocatur fideicommissum. libertatem uero ita relinquimus: rogo te heres ut illum seruum meum manumittas, quae fideicommissaria manumissio dicitur. uerba autem haec, quibus fideicommissum relinquimus precaria dicuntur. itaque libertatem directam per uerbum »esto« relinquimus, per uerbum autem »rogo« precariam, siue fideicommissariam. inter utramque autem manumissionem hoc interest, quod directa quidem statim atque institutus heres adierit uim suam manifestat, seruumque in libertatem adducit, precaria autem facto quoque heredis indiget: ut nempe seruum apud magistratum uindicta alioue modo ex iis, quos diximus, manumittat. cum haec tibi perspecta sint, uide quid inde sequatur. diximus si seruum meum sine libertate filio meo tutorem dederim, directam ipsi tacite libertatem competere: ideo autem directam ne facto indigeat heredis, set ut ex ipso competat testamento.

κης ἁρμόσῃ αὐτῷ ἡ[1]) *ἐλευθερία. εἰ δὲ*[2]) *ἦν* fideicommissaria, *ὁ* púpillos *δὲ ἐγέγραπτο κληρονόμος, οὐκ ἠδύνατο ἐλευθεροῦν τὸν οἰκέτην τὸν καταλειφθέντα αὐτῷ ἐπίτροπον. οἶδας γὰρ ὅτι ὁ ἐλάττων τῶν κ ἐνιαυτῶν οὐ δύναται ἐλευθεροῦν τὸν ἴδιον οἰκέτην,*[3]) *ὑπὸ*[4]) *τοῦ* aelíu sentíu *νόμου κωλυόμενος, εἰ μὴ ἐν* consilíῳ *εὔλογον αἰτίαν δοκιμάσῃ. ἀλλ' ἔχει τις εἰπεῖν εἶναι καὶ ταύτην εὔλογον αἰτίαν. ἀλλὰ πρῶτον μὲν οὐ συνηριθμήσαμεν προλαβόντες καὶ ταύτην τὴν αἰτίαν ταῖς εὐλόγοις αἰτίαις, εἰ δὲ καὶ ἰδικῶς συνηριθμήσαμεν, ἐδεόμεθα* consénsu[5]) *καὶ συναινέσεως ἐπιτρόπου. πῶς δὲ ἠδύνατο συναινεῖν ὁ μήπω ὢν ἐπίτροπος, ἀλλ' ἐν οἰκέταις*[6]) *τελῶν; εἰ δὲ ὁ* testátωr *τὸν ἴδιον οἰκέτην ἐλεύθερον εἶναι νομίσας ὡς ἐλεύθερον ἐπίτροπον κατέλιπεν, οὐκέτι λέγομεν σιωπηρῶς αὐτῷ τὴν ἐλευθερίαν*[7]) *καταφέρεσθαι. ἐν γὰρ τῷ προλαβόντι θέματι ἐκ τῆς τοῦ τελευτήσαντος ἐννοίας ταύτην αὐτῷ δεδώκαμεν· ἐπὶ δὲ τοῦ παρόντος θέματος*[8]) *οὐδὲ τοιαύτην τοῦ τελευτήσαντος ἔννοιαν εὑρεῖν δυνατόν. πῶς γὰρ τοῦ οἰομένου ἐλεύθερον εἶναι αὐτόν*[9])*; Ὁ*[a]) *ἀλλότριος οἰκέτης ἐν διαθήκῃ* púrως[10]) *ἀχρήστως δίδοται ἐπίτροπος· οὕτω μέντοι δυνατὸν*[11]). *ἔστω ὁ δεῖνα ἐπίτροπος ὁ τοῦδε οἰκέτης* **cum liber erit**[12]). *τὸν δ' ἡμέτερον οἰκέτην ἀχρήστως ὑπὸ τοιαύτην αἵρεσιν δίδομεν ἐπίτροπον, λέγοντες· ἔστω ἐπίτροπος ὁ ἐμὸς οἰκέτης*[13]) **cum liber erit.** *ὁ δὲ*[14]) *λογισμὸς πρόδηλος, ἐπειδὴ τὸν ἐν ἡμετέρᾳ ὄντα ἐξουσίᾳ τοῦτον εἰς τύχην ἀγαγεῖν*[15]) *οὐκ ὀφείλομεν.* 2. *Ἐὰν*[16]) 2.
μαινόμενον ἤγουν[17]) *ἀφήλικα ἐπίτροπον κατέλιπον ἐν διαθήκῃ, γενήσονται ἐπίτροποι, ἡνίκα ὁ μὲν ἀνανήψῃ, ὁ δὲ τὸν κε ἐνιαυ-*

1) d. P. 2) *γὰρ* Vi. R. 3) P. '*τὸν οἰκέτην τὸν καταλειφθέντα αὐτῷ ἐπίτρ:*' 4) *ἀπὸ* P. 5) L1. L2. 'consilíu' quod et in quibusd. paris. codd. legi F2. 102 auctor est. 6) *ἀλλ' οἰκέτης* P. 7) Par1. Par2. *αἰτίαν.* 8) P. R., de. cett. 9) *τοῦτον* Vi. R. 10) L1. L2. 'púros' set infra 'púrως'., de. Epi. 11) —*ται* P. 12) *τουτέστιν ἡνίκα ἐλευθερωθῇ* add. P. *τουτ. ὅταν ἐλ.* Vi. R. 13) P., L1. F. R. *ἡμέτερος* L2. '*ὑμέτερος*'. = *ἤτοι ὅταν ἐλεύθερος γίνεται* add. Vi. R. 14) *καὶ ὁ λ.* Vi. R. 15) *ἄγειν* Epi. 16) *τὸν* ins. F. 17) *καὶ* ins. Vi. R. *ἢ* P. F.

a) Epi. 36, 4.

nam si fideicommissaria esset, ac pupillus esset heres institutus, non posset seruum tutorem sibi relictum manumittere; nosti enim lege Aelia Sentia cautum esse, ne quis minor XX annis seruum suum manumittat, nisi in consilio iusta causa probata. set erit qui dicat hanc quoque iustam causam esse. set primo hanc causam ceteris non connumerauimus, cum in superioribus iustas causas recensuimus; et ut specialiter relata fuerit, opus foret tamen tutoris consensu. quomodo autem consentire poterit qui tutor nondum sit set in seruitute degat? si uero testator cum seruum suum liberum esse crederet, ut liberum tutorem dederit, non aeque dicimus tacite ei libertatem competere. in proxima enim specie ex defuncti uoluntate eam ei tribuimus, in praesenti autem ne eiusmodi quidem uoluntas defuncti deprehendi potest. quomodo enim si eum liberum esse putauerit? Seruus autem alienus in testamento pure inutiliter tutor datur. sic tamen licet: *Tutor ille esto huius seruus, cum liber erit.* nostrum autem seruum inutiliter sub eiusmodi condicione tutorem damus his uerbis: *tutor esto seruus meus cum liber erit.* et ratio manifesta est. nam quod in potestate

2. nostra est in condicionem ferre non oportet. 2. Si furiosum aut minorem XXV annis tutorem in testamento dederim, fient tutores, alter cum compos mentis alter cum maior XXV an-

τὸν ὑπερβῇ. 3. Ad certum tempus καὶ[1]) ex certo tempore 3.
ὀρθῶς δίδοται ἐπίτροπος. ad certum tempus, οἷον, ὁ δεῖνα
ἔστω ἐπίτροπος ἕως β̅ ἐνιαυτῶν. ex certo tem-
pore[2]), οἷον· ἔστω ὁ δεῖνα ἐπίτροπος μετὰ β̅ ἔτη τῆς
ἐμῆς τελευτῆς· δυνατὸν καὶ ὑπὸ αἵρεσιν· ἔστω ὁ δεῖνα[3])
ἐπίτροπος si nauis ex Asia uenerit[4]). δυνάμεθα καὶ
ante heredis institutionem[5]) καταλιμπάνειν ἐπίτροπον, οἷον ἵνα
εἴπωμεν· ἔστω ὁ δεῖνα ἐπίτροπος τοῦ ἐμοῦ παιδός·
ἔστω δέ μου ὁ δεῖνα κληρονόμος. 4. [a]) Οὐ δύναμαι δὲ 4.
ἐπὶ ῥήτῳ πράγματι ἢ ῥητῇ αἰτίᾳ ἐπίτροπον καταλιμπάνειν,
οἷον· ἔστω ὁ δεῖνα ἐπίτροπος ἐπὶ τῷδε τῷ ἀγρῷ ἢ
ἐπὶ τῇδε τῇ[6]) δίκῃ. προσώπῳ γὰρ εἴωθεν ἐπίτροπος δίδο-
σθαι, οὐ μὴν αἰτίᾳ ἢ πράγματι. 5. Ἐάν τις[7]) ἑαυτοῦ θυγα- 5.
τράσιν ἢ τοῖς ἰδίοις υἱοῖς ἐπίτροπον καταλείψῃ καὶ[8]) ταῖς postú-
mais καὶ[9]) τοῖς postúmois δοκεῖ καταλελοιπέναι, ἐπειδὴ τῇ τοῦ
υἱοῦ ἤγουν θυγατρὸς προσηγορίᾳ καὶ ὁ postûmos καὶ ἡ postûma
περιέχεται. ἄρα δὲ καὶ[10]) οἱ ἔκγονοι τῇ τῶν υἱῶν περιέχονται
προσηγορίᾳ, ὥςτε καὶ[11]) αὐτοῖς δοκεῖν δεδόσθαι τὸν τοῖς υἱοῖς
δεδομένον ἐπίτροπον, ἵνα τῇ τοῦ filii[12]) προσηγορίᾳ σημανθῶσι
καὶ οἱ[13]) ἔκγονοι; καὶ λέγομεν ὅτι καὶ πάνυ, μόνον εἰ μὴ εἶπε
filiis, ἀλλὰ liberis. εἰ γὰρ εἶπε· filiis meis tutorem do[14]), οὐ
περιέχονται οἱ ἔκγονοι. ἑτέρως γὰρ οἱ υἱοὶ καὶ[15]) ἑτέρως οἱ
ἔκγονοι προσηγορεύονται. εἰ δὲ εἶπε· postumis do tutorem,
τότε ὁποῖος ἂν εἴη ὁ τεχθεὶς εἴτε υἱὸς εἴτε ἔκγονος, ἐπιτροπευ-
θήσεται ὑπὸ τοῦ δεδομένου.

---

1) uel Vi. R. 2) Ep. de. F1. R. 3) d. Vi. R. ἐπίτρ. ὁ δ. P. 4) ἤγουν ἐὰν [R. εἰ] τὸ πλοῖον ἔλθῃ ἀπὸ Ἀσίας. P. R. 5) ἤγουν πρὸ τῆς ἐνστάσεως τοῦ κληρον. Vi. R. πρὸ τοῦ ὅρου τῆς κληρον. P. 6) addidi ex Epi. R. 7) ταῖς F1. R. 8) d. F. 9) ἢ F. 10) de. F. 11) d. Vi. R. 12) ex P., libri cett. filiis cum F.; R. filiorum. 13) addidi ex P. R. 14) τουτέστι τοῖς υἱοῖς μου ἐπίτροπον δίδωμι P. 15) add. ex P. R.

a) Epi. 36, 5.

3\. nis factus fuerit. 3. Ad certum tempus uel ex certo tempore
recte tutorem damus. ad certum tempus, ueluti: ille
tutor esto ad duos usque annos; ex certo tempore,
ut ecce: post duos annos quam mortuus fuero, ille
tutor esto. licet et sub condicione: ille tutor esto, si
nauis ex Asia uenerit. Possumus et ante heredis insti
tutionem tutorem relinquere his uerbis: ille filio meo tu-
4\. tor esto; ille autem mihi heres esto. 4. Certae autem
rei aut certae causae tutorem dare non possum, ueluti: ille
in hoc fundo aut in hac lite tutor esto. quia personae
5\. non causae uel rei tutor dari solet. 5. Si quis filiabus suis
aut filiis suis tutorem dederit, postumae uel postumo quoque
dedisse uidetur, quia filii uel filiae appellatione et postumus
et postuma continentur. an et nepotes quoque liberorum ap-
pellatione continentur ut ipsis quoque datus esse intellegatur
tutor qui liberis est relictus, ut liberorum appellatione et nepo-
tes indicentur? et magis est ut contineantur, modo si quis
liberos non filios dixerit; nam si dixerit filiis meis tu-
torem do, nepotes non continentur, aliter enim filii aliter
nepotes appellantur. plane si dixerit: postumis do tuto-
rem, tum quicumque nascatur siue filius siue nepos in eius,
qui datus fuerit, tutela erit.

De legitima adgnatorum tutela.[1] Titulus 15.

Εἰρήκαμεν ὅτι δυνατὸν ὑπὸ τῶν γονέων τοῖς **in potestate** *παισὶ* **testamentárion** *καταλιμπάνειν*[2] *ἐπίτροπον. τί οὖν ὅτε οὐκ ἦν* **testamentários** *ἐπίτροπος; ἢ γὰρ ὁ πατὴρ ἀδιάθετος ἐτελεύτησεν ἢ διαθέμενος ἐπελάθετο καταλιπεῖν ἐπίτροπον ἢ ὁ καταλειφθεὶς ὑπὸ τοῦ* **testátoros** *προετελεύτησεν. τίς ἐπιτροπεύσει*[3] *τούτων; τότε ὁ δωδεκάδελτος νόμος δίδωσι τούτοις τοὺς* **adgnátus**. 1. *Καὶ τίνες εἰσὶν* **adgnátoi**; *ἔχε ταῦτα ὡς ἐν* 1.
προθεωρίᾳ. ἡ συγγένεια ὄνομα μέν[4] *ἐστι γενικόν, τέμνεται δὲ εἰς τρία, εἰς τοὺς ἀνιόντας εἰς τοὺς κατιόντας εἰς τοὺς ἐκ πλαγίου. καὶ ἀνιόντες μέν εἰσιν οἱ ἡμᾶς γεγεννηκότες πατὴρ μήτηρ πάππος μάμμη πρόπαππος προμάμμη καὶ οἱ ἔτι τούτων ἀνώτεροι, κατιόντες δὲ οἱ ἐξ ἡμῶν γεννηθέντες*[5], *υἱὸς θυγάτηρ ἔκγονος ἐκγόνη προέκγονος προεκγόνη καὶ οἱ ἔτι τούτων κατώτεροι· ἐκ πλαγίου δὲ οἱ μήτ' ἡμᾶς γεγεννηκότες μήτ' ἐξ ἡμῶν γεννηθέντες*[6], *τῆς δ' αὐτῆς γονῆς καὶ ῥίζης ἡμῖν κεκοινωνηκότες*[7], *οἷον ἀδελφὸς ἀδελφὴ θεῖος θεία ἀνεψιὸς ἀνεψιὰ καὶ οἱ ἐκ τούτων καταγόμενοι. αὕτη δὲ ἡ*[8] *ἐκ πλαγίου συγγένεια εἰς β̄ διαιρεῖται*[9] *εἰς* **adgnátus** *καὶ* **cognátus**. *καὶ* **adgnátoi** *μέν εἰσιν οἱ ἐξ ἀρρενογονίας ἡμῖν συναπτόμενοι, οἷον ἀδελφὸς ὁμοπάτριος καὶ οἱ ἐκ τούτου παῖδες ἀδελφὴ ὁμοπάτριος*[10] *θεῖος πρὸς πατρὸς καὶ οἱ*[11] *τούτου παῖδες καὶ θεία πρὸς πατρός.* **cognátoi** *δέ εἰσιν οἱ θηλυγονίας ἡμῖν συναπτόμενοι, οἷον ἀδελφὴ ὁμομήτριος καὶ οἱ ταύτης παῖδες, ἤγουν τῆς πρὸς πατρὸς*[12] *θείας οἱ παῖδες. οἱ δὲ* **adgnátoi** *λέγονται καὶ* **legítimoi** *τουτέστι νόμιμοι· λέγονται καὶ* **cognátoi** *τουτέστι φυσικοί, ἐπειδὴ οὓς ὁ νόμος ἐπίσταται οἶδε καὶ ἡ φύσις· οἱ δὲ* **cognátoi** *λέγονται φυσικοὶ μόνον. οὓς γὰρ ἡ φύσις οἶδεν οὐ πάντως ὁ νόμος ἐπίσταται. ἐπειδή σοι ταῦτα προτεθώρηται, ὅρα λοιπὸν*

---

1) *περὶ νομίμου* [*νομίμων* R.] *συγγενῶν ἐπιτροπεύσεως* addunt libr.
2) l. *καταλιμπάνεσθαι*, ut R. cj. 3) *—εύει* G. 4) d. R.
5) dedi ex P., cett. *γεννώμενοι*. P. add. *οἷον*. 6) item ex P.
7) haec d. P. 8) d. G. 9) *διαιρεῖται εἰς δύο* P. 10) haec d. P. 11) *ἐκ* add. P. 12) *μητρὸς* edd. ant. F.

De legitima adgnatorum tutela. Titulus 15.

Diximus posse parentes liberis, quos in potestate habeant, tutorem testamento dare quid autem si testamentarius tutor non extet? aut enim pater intestatus decessit, aut testatus est quidem set oblitus est testamento tutorem dare, aut qui datus est antea decessit. quis filiorum tutor erit? lex
1. XII tabularum eis adgnatos tutores dat. 1. Qui sunt autem adgnati? haec ante omnia perspecta habeas. cognatio cum nomen sit generale in tresordines deducitur, in parentes, in liberos atque in eos qui ex transuerso ueniunt. et parentes sunt qui nos genuerunt, pater mater auus auia proauus proauia et his superiores. liberi autem sunt, qui ex nobis nati sunt, filius filia nepos neptis pronepos proneptis et his inferiores; ex latere autem ueniunt qui neque nos genuerunt neque ex nobis nati sunt, set eandem originem et stirpem nobiscum communem habent, ueluti frater soror patruus amita auunculus matertera nepos neptis et his inferiores. cognatio autem ex transuerso in duas species deducitur, in adgnatos et cognatos. et adgnati quidem sunt qui per uirilis sexus cognationem coniunguntur, ueluti frater consanguineus eiusque liberi, soror consanguinea patruus eiusque liberi et amita. cognati sunt qui per feminini sexus personas cognatione nobis iunguntur, ueluti soror uterina eiusque filii, matertera eiusque filii, item amitae filii. adgnati autem etiam legitimi dicuntur et cognati, idest natura coniuncti, nam quos ius adgnoscit, eosdem et natura nouit. cognati autem naturales tantum dicuntur, quos enim natura nouit, non omnimodo iure quoque adgnoscuntur. cum haec tibi perspecta sint, uide quid inde sequatur. cum

τὸ προκείμενον. **testamentaríωn** *μὴ ὑποκειμένων ἐπιτρόπων*[1]) *ἀνάγκη* **legitímus** *ἤτοι* **adgnátus** *ἐπιτροπεύειν, οἵτινες δι' ἀρρενογονίας*[2]) *ἡμῖν συνάπτονται. λέγονται δὲ οὗτοι* **adgnátoi** *οἷον ὁμοπάτριος ἀδελφὸς καὶ ὁ τούτου υἱὸς καὶ ὁ ἐξ ἐκείνου ἔκγονος. οἱ δὲ διὰ θηλυγονίας ἡμῖν συνεζευγμένοι οὐκ εἰσὶν* **adgnátoi,** *ἀλλὰ φυσικῷ λόγῳ* **cognátoi,** *ὥςτε*[3]) *οὖν τῆς θείας μου τῆς πρὸς πατρὸς*[4]) *ὁ υἱὸς οὐκ ἔστι μοι* **adgnátos,** *ἀλλὰ* **cognátos,** *κἀγὼ δὲ αὐτῷ* **cognátos** *εἰμί, ἐπειδὴ οἱ τικτόμενοι τὴν τοῦ πατρὸς οὐ τὴν τῆς μητρὸς μεταδιώκουσι*[5]) **familían,** *καίτοι ἡ πρὸς πατρὸς θεία* **adgnata** *ἐστὶν,* [*ὁ δ' ἐξ αὐτῆς* **cognátos**[6]]. *τίς οὖν ἡ αἰτία; ἐπειδὴ θῆλυ πρόσωπον*[7]) *παρεντεθὲν τὸ τῆς θείας διέτεμε τὴν*[8]) **adgnatíona.** *καθολικῶς γὰρ ἴσθι ὅτι ἣν προΐσχεταί τις πρὸς ἐμὲ συγγένειαν κἀγὼ ταύτην*[9]) *προβάλλομαι πρὸς αὐτόν.* 2. *Καθὰ δὲ εἶπον, χώρα τῇ* **adgnatíoni** *ἐπὶ τῇ* [2.] *ἐπιτροπῇ, οὐ μόνον ἡνίκα μὴ διαθῆται ὁ δυνάμενος πατὴρ*[10]) *καταλιπεῖν ἐπίτροπον, ἀλλ' ἐὰν ὅσον ἀνήκει εἰς τὸν τῆς ἐπιτροπῆς λόγον ἀδιάθετος τελευτήσῃ, ὅπερ συμβαίνει καὶ εἰ κατέλιπε μὲν, τοῦ δὲ καταλιπόντος προετελεύτησεν ὁ ἐπίτροπος.*[11]) 3. [3.] *Ἀλλὰ τὸ μὲν τῆς* **adgnatíonos** *δίκαιον πάσαις ταῖς* **capitis deminutíosin**[12]) *ὡς ἐπὶ τὸ πλεῖστον ἀναιρεῖται. ἡ γὰρ*[13]) **adgnatíωn** *νόμιμόν τι ἐστιν ὄνομα, τὸ δὲ τῆς* **cognationos** *δίκαιον οὐ πάσαις ἀμείβεται ταῖς* **capitis deminutíosin.** *ὁ δὲ ἐπὶ τῆς* **adgnatíonos** *λόγον οὗτός ἐστιν. ἐπειδὴ ὁ πολιτικὸς λόγος τουτέστιν ἡ* **capitis deminutíωn** *τὰ πολιτικὰ δίκαια τουτέστι τὰ* **adgnaticà** *διαφθείρειν δύναται, τὰ δὲ φυσικὰ, τουτέστι τὰ* **cognaticà** *οὐ πάντως.*

---

1) L 1. L 2.: P. *τεσταμενταρίου μὴ ὑποκειμ. ἐπιτρ.* F. *τεσταμενταρίων μὴ ὑποκ.* [*προσώπων* add. R.] *τῶν ὀφειλόντων ἐπιτροπεύειν.* 2) *—ίαν* P. R. 3) *ὥςπερ* edd. ant. F. 4) F. atque edd. ant. *μητρὸς.* 5) *διώκουσι* Vi. R. 6) libenter delerem. 7) *πρόσ. θ.* P. 8) de. L 2. 9) *τ. κἀγὼ* P. 10) L 1. L 2.: cett. *ὁ πῆρ ὁ δυνάμενος.* L 2. add. *τῷ παιδὶ* m. 2a. 11) *ἢ τυχὸν ἐπελάθετο καταλεῖψαι ἐπίτροπον τῷ υἱῷ διαθέμενος* add. Vi. R. 12) ita scrib. L 1. 13) *δὲ* P.

nemo extet qui testamento tutor datus sit, oportet legitimos i. e. adgnatos tutelam suscipere, qui per uirilis sexus cognationem iunguntur. uocantur autem adgnati ueluti frater eodem patre natus eiusque filius uel ex eo nepos. qui autem per feminini sexus personas nobis coniunguntur non sunt adgnati set naturali ratione cognati; itaque amitae meae filius non est mihi adgnatus set cognatus et ego ei cognatus sum, quia liberi patris non matris familiam secuntur, neque obstat adgnatam esse amitam quominus eius filius cognatus sit. quaenam est autem causa? feminini enim sexus persona interueniens cognationem interrupit. generatim autem admonendus es quam quis cognationem mecum praesefert, me ean-
2. dem cum eo habere. 2. Sicuti autem dictum est, locus adgnatis in tutela fit non solum si pater testamentum non fecerit, qui poterat tutores dare; set etiam si quantum ad tutelam pertinet intestatus decesserit; quod accidit et si tutorem qui-
3. dem dederit, datus autem ante testatorem mortuus sit. 3. Set adgnationis quidem ius omnibus capitis deminutionibus plerumque perimitur; iuris enim ciuilis adgnatio est: cognationis autem ius non omnibus capitis deminutionibus commutatur. et haec est in adgnatione ratio, quia ciuilis ratio, idest capitis deminutio, ciuilia quidem iura, idest adgnationis perimere potest, naturalia uero, idest cognationis, non utique.

De capitis deminutione.[1]) Titulus 16.

Εἰρήκαμεν τῇ capitis deminutíoni *ὡς ἐπὶ τὸ πλεῖστον τὰ* adgnaticà *διαφθείρεσθαι δίκαια. ὁρισώμεθα δὲ τί ἐστι* capitis deminutíωn. capitis deminutíωn *ἐστὶ τῆς προτέρας καταστάσεως ἐναλλαγή, ἢ οὕτως, πάθος ἐκ περιστάσεως νόμων συμβαῖνον κατάστασιν ἀμεῖβον ἤτοι ἐλαττοῦν τοῦ πάσχοντος. τρεῖς δέ εἰσι* capitis deminutíones, *ἡ γὰρ μεγίστη ἐστιν ἥτις λέγεται* maxima *ἢ* minor, *ἣν τινες* mediam *προσαγορεύουσι, τουτέστι μέσην, ἢ* minima[2]) *ἤτοι ἐλαχίστη.*[3]) 1. *Μεγίστη δέ* 1. *ἐστι* capitis deminutíωn *ὁπότε τις ἅμα καὶ τὴν πολιτείαν καὶ τὴν ἐλευθερίαν*[4]) *ἀπόλλυσιν, ὅπερ συμβαίνει ἐπὶ ἐκείνων, οἳ δοῦλοι γίνονται τῆς τιμωρίας διὰ τὸ τραχὺ τῆς κατ' αὐτῶν ἐξενεχθείσης ἀποφάσεως, οἷον ἡνίκα θηρίοις ἢ πυρὶ παραδοθῶσιν· ἤγουν οἱ*[5]) *ἀπελεύθεροι οἱ ὀφθέντες ἀχάριστοι περὶ τὸν πάτρονα καὶ διὰ τοῦτο καταδικασθέντες, ἢ οἱ ἀνασχόμενοι* ad pretium participandum *ἑαυτοὺς*[6]) *πραθῆναι. τούτων ἕκαστος περιπεσὼν τῇ μεγάλῃ* capitis deminutíoni *τῇ πολιτείᾳ συναπόλλυσι τὴν ἐλευθερίαν.* 2. *Μέση* capitis deminutíωn *ἐστὶν, ὁπότε* 2. *ἡ μὲν πολιτεία ἀπόλλυται, ἡ δ' ἐλευθερία μένει ἀκέραιος, ὅπερ συμβαίνει τῷ γινομένῳ* aqua et igni interdicto[7]), *ἢ τῷ εἰς νῆσον* deportateu*θέντι. ἑκάτερος γὰρ ἐλεύθερος ὢν ἐκπίπτει τῆς ῥωμαϊκῆς πολιτείας. καὶ ἐν τούτῳ μὲν ἰσότης· διαφορὰ δὲ* deportátu *καὶ* aqua et igni interdíctu[8]), *ὅτι ὁ μὲν* deportátos *τόπῳ περικέκλεισται*[9]) *τουτέστι τῇ νήσῳ, ὁ δὲ* aqua et igni interdíctos[10]) *εἴργεται τόπου*[11]). 3. *Ἐλαχίστη δέ ἐστι* capitis 3. deminutíωn, *ὁπότε καὶ ἡ πολιτεία καὶ ἡ ἐλευθερία παρα-*

---

1) *Περὶ ἀρχῆς ἐλαττουμένης* add. libri. 2) *ἢ* P. 3) *εἰσὶν οὖν κάπιτις δημινουτιόνες τρεῖς μεγίστη μέση ἐλαχίστη* Vi. R. cum praec. 4) *καὶ τὴν ἐλ. καὶ τὴν π.* Vi. R. 5) *καὶ* P. F. 6) *διαπραθ.*, P. R. 7) —cton L^1. L^2.: R. = ei cui aqua et igni interdictum fuerit. *ἤτοι ὕδατι καὶ πυρὶ καταλεγομένῳ* add. P. 8) haec d. Vi. R. 9) *περικλείεται* F. *περικέκληνται* L^1. L^2. 10) *παντὸς* add. P. F. R., abest tamen a L^1. L^2. atque ex Par^1. Par^2. forsan l. *ἑνός*. 11) *ἐλαχίστου* add. L^2.

De capitis deminutione.[a] Titulus 16.

Diximus capitis deminutione plerumque adgnationis iura
perimi. definiamus igitur quid sit capitis deminutio. capitis de-
minutio est prioris status commutatio; aut ita: capitis deminutio
est effectus quidam ex iuris condicione contingens quo status mu-
tatur alicuius aut minuitur. tres sunt autem capitis deminutio-
1. nes, maxima minor, quae etiam media uocatur, et minima. 1. Ma-
xima est autem capitis deminutio, si quis simul ciuitatem et
libertatem amittat. quod accidit in his qui serui poenae ef-
ficiuntur atrocitate sententiae in eos latae, ueluti si qui bestiis
aut flammis tradantur; item liberti qui ingrati circa patronum
uisi sunt et ideo condemnati sunt, uel qui ad pretium parti-
cipandum se uenumdari passi sunt. nam isti singuli in ma-
ximam capitis deminutionem incidentes libertatem simul amit-
2. tunt et ciuitatem. 2. Media est capitis deminutio cum ci-
uitas quidem amittitur, libertas uero integra manet, quod
accidit ei, cui aqua et igni interdictum est, aut qui in insu-
lam est deportatus. uterque enim cum liber permaneat, ci-
uitatem romanam amittit. eo autem deportatus atque aqua
et igni interdictus differunt, quod deportatus certo loco con-
cluditur, ueluti insula, aqua et igni interdictus autem loco
3. aliquo arcetur. 3. Minima autem est capitis deminutio cum
et ciuitas et libertas retinetur, praesens autem status commu-

---

a) ita l. libri Thi, non 'minutione' cum Kruegero.

κατέχεται,[1]) ἡ δὲ παροῦσα κατάστασις ἀμείβεται. ὅπερ συμ-
βαίνει ἐπὶ ἐκείνων οἳ αὐτεξούσιοι ὄντες δεδώκασιν ἑαυτοὺς εἰς
υἱοθεσίαν καὶ γεγόνασιν ὑπεξούσιοι ἢ καὶ[2]) ἐκ τοῦ ἐναντίου ὁ ὑπε-
ξούσιος γέγονεν αὐτεξούσιος· ἐνταῦθα γὰρ μόνον τῆς ὑπεξουσιό-
τητος ἢ αὐτεξουσιότητος[3]) γέγονεν ἐναλλαγή. 4. Ἆρα δὲ[4]) ὁ οἰκέτης 4.
ἐλευθερωθεὶς ὑφίσταται capitis deminutíona; καὶ λέγομεν οὐδα-
μῶς, ἐπειδὴ οὐδεμίαν πάλαι εἶχε κεφαλὴν, ἀλλὰ νῦν μετὰ τὴν ἐλευ-
θερίαν ἤρξατο ἔχειν κεφαλὴν καὶ γνωρίζεσθαι ὑπὸ τῶν νόμων.
5. Ὧν δὲ τὸ ἀξίωμα βασιλεὺς ἀφείλετο οὐχ ὑφίστανται[5]) capitis 5.
deminutíona, ὥςτε οὖν ὁ τῆς συγκλήτου ἐκβληθεὶς οὐκ ἔστι
capite deminûtos.[6]) 6. Ἡ μὲν οὖν[7]) adgnatíων ἀναιρεῖται[8]) 6.
τῇ capitis deminutíoni, ὡς ἐπὶ τὸ πλεῖστον. διὰ τί δὲ προς-
τίθεται[9]) »ὡς ἐπὶ τὸ πλεῖστον« μαθησόμεθα. ἡ δὲ cogna-
tíων ὡς ἐπὶ τὸ πλεῖστον οὐκ ἀναιρεῖται. διὰ τοῦτο δὲ εἶπον
»ὡς ἐπὶ τὸ πλεῖστον«, ἐπειδὴ ἡ μὲν[10]) ἐλαχίστη capitis
deminutíων παρεντεθεῖσα ἐπί σχήματος φυλάττει τὰ cognaticà
δίκαια, ἡ δὲ[11]) μεγίστη capitis deminutíων συμβᾶσα καὶ τὴν
cognatíona διαφθείρει. εἰ γάρ τις καταδουλωθῇ οὐκέτι μένει
cognátos οἷς ἦν cognátos, ἀλλ' οὐδὲ ἐλευθερωθείς ὁ πρώην
ὢν ἐλεύθερος τὴν παλαιὰν[12]) ἀναλαμβάνει cognatíona. εἰ δὲ
καὶ τὴν μέσην capitis deminutíoná τις ὑποστῇ, οἷον depórtatos
γενόμενος, καὶ τούτῳ τῷ τρόπῳ διαλύεται ἡ cognatíων. 7. 7.
Ἡνίκα δὲ[13]) púpillos δεῖται ἐπιτροπῆς, οἶδας ὅτι testamenta-
rías μὴ ὑποκειμένης χώρα τῇ adgnaticῇ· εἰ δὲ πολλοὶ εἶεν
adgnátoi οὐ πρὸς πάντας ἅμα κάτεισιν ἡ ἐπιτροπὴ ἀλλὰ πρὸς
τοὺς ἐγγύτερον ἐπιγραφομένους βαθμόν. οἷον· ἐστὶν[14]) ὁ
ἀδελφὸς, ἐστὶ δὲ[15]) καὶ θεῖος· ὁ ἀδελφὸς μᾶλλον παραγίνεται.
εἰ δὲ πολλαί εἰσι τοῦ αὐτοῦ βαθμοῦ, οἷον πολλοὶ ἀδελφοὶ ἢ
πολλοὶ θεῖοι, πάντες ἅμα κληθήσονται.

---

1) ἤγουν φυλάττεται add. Vi. R. 2) d. Vi. R. 3) d. P. 4) οὖν P. F. 5) —αντο Vi. R. 6) deminutus Vi. R. 7) d. Vi. R. 8) διὰ τῆς —διμινουτίονος Vi. R. omnia de. P. 9) προςετέθη Vi. R. 10) d. Vi. R. 11) ex cj. R.: cett. γὰρ. 12) ἤγουν τὴν πρὸ τῆς δουλείας add. F. 13) d. F. 14) ἀδυνάτος ins. Vi. R. 15) ἐ. δ. d. Vi. R.

tatur, quod accidit in his, qui cum sui iuris fuissent semet
adrogandos dederunt atque alieni iuris esse coeperunt, uel
contra in eo, qui cum alieni iuris esset, sui iuris effectus est.
in his enim patriae potestatis tantummodo mutatio facta est.
4. 4. An seruus manumissus capitis deminutionem patitur? ne-
quaquam sane, quia nullum prius caput habuit, set nunc post
manumissionem caput habere coepit atque in iure personam
5. gerere. 5. Quibus dignitatem ademit princeps, capitis demi-
nutionem non patiuntur. et ideo senatu motus non est capite
6. deminutus. 6. Adgnatio igitur capitis deminutione plerumque
perimitur: cur autem addatur »plerumque« inferius propone-
mus. cognatio autem plerumque non perimitur. ideo autem
»plerumque« dixi, quia minima capitis deminutio interueniens
cognationis iura integra seruat, maxima autem capitis demi-
nutio contingens cognationem quoque aufert. nam si quis
seruus esse incipiat non amplius his, quibus antea fuerit,
cognatus erit, set neque si manumittatur qui olim liber fue-
rat, ueterem cognationem reciperat. set si mediam quis ca-
pitis deminutionem patitur, ueluti si deportari iubetur, pari-
7. ter cognatio dissoluitur. 7. Cum pupillus tutela indigeat,
scis adgnatos ita demum uocari, si tutor testamento datus
non extet. si uero plures sint adgnati, non ad omnes aeque
tutela defertur, set ad eos tantum qui proximo gradu censen-
tur. ut ecce extat frater, extat et patruus: frater potior ha-
bebitur. et si plures eiusdem gradus sint, ueluti plures fra-
tres aut plures patrui, omnes simul uocabuntur.

De legitima patronorum tutela.[1] Titulus 17.

Ἀπελεύθερος ἢ ἀπελευθέρα ἐδέοντο ἐπιτρόπου διὰ τὸ βραχὺ τῆς ἡλικίας. τίς αὐτῶν ἐπιτροπεύσει; **testamentários**; *οὐδαμῶς. τούτους γὰρ καταλιμπάνει ὁ ἔχων ὑπεξουσίους τοὺς ἀνήβους, οὗτοι δὲ ὑπεξούσιοι οὐκ εἰσὶν ἐκ δουλείας ἐλευθερωθέντες· οὐ γὰρ ἔχουσι τοὺς ἀνιόντας. ἀλλὰ* **legítimoi**; *καὶ πῶς ὁ μὴ ἔχων ἀνιόντας ἔχειν δύναται τοὺς ἐκ πλαγίου; ἐξ ἐκείνων γὰρ οὗτοι καταλαμβάνονται. τί οὖν; ὁ νόμος ὁ δωδεκάδελτος τοὺς πάτρονας καὶ τοὺς τῶν πατρόνων παῖδας ἐπὶ τὴν τούτων ἐπιτροπὴν καλεῖ. εἶπον γὰρ προλαβὼν ὅτι ἐπὶ τῇ δόσει τῆς ἐλευθερίας τὸ βάρος ἕπεται τῆς ἐπιτροπῆς· λέγεται δὲ καὶ αὕτη* **legítima** *ἐπειδὴ ὑπὸ τοῦ δωδεκαδέλτου εὑρέθη. ἀλλ' ἔχει τις εἰπεῖν· καίτοι ἀναγνοὺς τὰ τοῦ δωδεκαδέλτου ῥήματα μνήμην οὐχ εὗρον ταύτης τῆς ἐπιτροπῆς. ἀλλ' ἐροῦμεν ὡς εἰ μὴ σαφῶς τοῖς ῥήμασι τοῦ νόμου περὶ αὐτῆς διηγόρευται, ἀλλ' οὖν ἐκ τῆς ἐννοίας τοῦ δωδεκαδέλτου ἐστι τοῦτο λαβεῖν.*[2] *φησὶ γὰρ ἔν τινι μέρει τῆς οἰκείας νομοθεσίας· ἐάν τις ἄπαις καὶ ἀδιάθετος τελευτήσῃ οἱ* adgnátoi *παραγενέσθωσαν ἐπὶ τὴν τούτου κληρονομίαν. καὶ πάλιν ἐν ἑτέρῳ μέρει φησίν· ἐάν τις δεῖται ἐπιτρόπου*[3] *οἱ* adgnátoi *ἐπιτροπεύσουσιν.*[4] *οὓς τοίνυν* **adgnátus** *παρεμυθήσατο τῷ κέρδει τῆς κληρονομίας, τούτους ἐβάρυνε τῇ ἐπιτροπῇ. ταῦτα περὶ εὐγενῶν. ἐλθὼν δὲ ἐπὶ τοὺς ἐλευθέρους εἶπεν· ἐὰν ἀπελεύθερος ἢ ἀπελευθέρα ἄπαιδες καὶ ἀδιάθετος τελευτήσωσι, τὴν τούτων κληρονομίαν οἱ πάτρονες ἤγουν οἱ παῖδες τῶν πατρόνων διαδέχονται.*[5] *περὶ δὲ ἐπιτροπῆς οὐδὲν εἶπεν. ἐπειδὴ οὖν ἐκάλεσε τοὺς πάτρονας εἰς τὴν τῶν ἀπελευθέρων κληρονομίαν κατὰ μίμησιν τῶν* adgnátwn, *ἐξ ἀνάγκης οἱ παλαιοὶ καταστοχαζόμενοι τοῦ νόμου λέγουσι τὸν αὐτὸν τρόπον καὶ βαρύνεσθαι*

---

1) *περὶ νομίμου πάτρονος* [R. *πατρώνων*] *ἐπιτροπεύσεως* add. libri. 2) *εἰπεῖν* P. 3) *ἐπιτροπῆς* Vi. R. 4) ex L1. L2.: cet. *—εύουσιν*. 5) *διαδέξονται* cj. R.

De legitima patronorum tutela. Titulus 17.

Libertus uel liberta tutore indigebant quia impuberes adhuc erant. quis eorum tutor erit? an tutor testamento datus? minime sane; eiusmodi enim tutorem is relinquit qui impuberem in potestate habeat; hi autem in nullius potestate sunt, utpote qui sint ex seruitute manumissi et ideo parentes habere non intellegantur. an adgnatos tutores habebunt? set quomodo is qui parentes non habet, ex transuerso cognatos habebit? nam ex illis hi descendunt. quid igitur iuris est? lex XII tabularum patronos patronorumque liberos ad eorum tutelam uocat. diximus enim in superioribus libertatis dationem onus sequi tutelae. dicitur et ipsa legitima tutela quia lege XII tabularum inuenta est. set erit qui dicat: cum XII tabularum uerba perlegerim, eiusmodi tutelae mentionem non inueni. set respondemus quamuis non nominatim lex de ea loquatur, liquet id tamen ex XII tabularum mente. legitur enim in quadam earum parte: *si quis intestatus sine liberis decessit, adgnati heredes sunto.* et rursus in alia quadam parte: *si quis tutore indiget, adgnati tutores sunto.* adgnatos igitur, quos lucro hereditatis ditauit, tutelae quoque onere adfecit. haec uero de ingenuis: ad libertos autem procedens ait lex: *si libertus libertaue sine liberis intestati moriantur patroni liberiue patronorum eis heredes sunto.* de tutela autem nihil ea lege cauetur; set cum patronos ad similitudinem adgnatorum lex ad successionem uocauerit, consequenter ueteres legis mentem assequi studentes eodem modo etiam tutelas ad eos pertinere dixerunt. plerumque enim ubi successionis est lu-

αὐτοὺς τῇ ἐπιτροπῇ. ὡς ἐπὶ τὸ πλεῖστον γάρ[a] *ἔνθα τῆς διαδοχῆς ἐστὶ τὸ κέρδος, ἐκεῖ καὶ τῆς ἐπιτροπῆς τὸ*[1] *βάρος εἶναι χρή. διὰ τοῦτο δὲ εἶπον »ὡς ἐπὶ τὸ πλεῖστον«, ἐπειδὴ ἐὰν θηλεία ἄνηβον ἐλευθερώσῃ, τελευτήσῃ δὲ ἄνηβος ἀπελεύθερος, καλεῖται μὲν ἐπὶ τὴν αὐτοῦ κληρονομίαν, οὐ βαρύνεται δὲ τῇ αὐτοῦ ἐπιτροπῇ. ἐπειδὴ τὸ ἐπιτροπεύειν ἀρρένων, θηλείων δέ ἐστιν ἀλλότριον.*[2]

De legitima parentium tutela.[3] Titulus 18.

Ἐποίησα τὸν ἐμὸν υἱὸν[4] *ἢ τὴν ἐμὴν*[5] *θυγατέρα ἢ ἐκγόνην ἀνήβους ὄντας* **emancipátus.** *ἐπιτρόπου*[6] *δέονται· τίς αὐτῶν ἐπιτροπεύσει;*[7] **testamentárion** *οὐκ ἔστιν εἰπεῖν· τὸν γὰρ* **testamentárion** *καταλιμπάνει ὁ ἔχων τὸν ἄνηβον ὑπεξούσιον. ἀλλὰ* **adgnáton**; *ἀλλὰ διέφθαρται τῇ* **emancipatíoni** *τὰ* **adgnaticà** *δίκαια. τίς οὖν κληθήσεται ἐπὶ τὴν ἐπιτροπήν; καθὰ καὶ ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν,*[8] *ὁ πατὴρ*[9] *ὁ πάππος οἱ ἐλευθερώσαντες αὐτοὺς καὶ ἐπιτροπεύσουσι κατὰ μίμησιν τῶν πατρόνων λεγόμενοι καὶ αὐτοὶ* **legítimoi** *ἐπίτροποι.*

---

1) d. G. 2) *ἀλλ. ἐσ.* Vi. R. 3) *περὶ νομίμου γονέων ἐπιτροπεύσεως* add. libri. parentium dedi ex L 1. L 2. 4) *υἱόν μου* P. 5) d. P. 6) *—ων* P. 7) *τίς αὐτῶν ἐπιτροπεύσει ἐπειδὴ ἐπιτρόπου δέονται;* Vi. R. 8) *εἴπομεν* P. 9) *καὶ* add. F. R.

a) Epi. 36, 53 iisd. uerb. addens *ὡς* $\overline{\beta}$ $\overline{\text{IN}}$ $\overline{\tau\iota}$. $\overline{\iota\varsigma}$ (sic).

crum ibi et tutelae onus esse debet. ideo autem dixi »plerumque«, quia si femina impuberem manumittit, ad eius quidem successionem uocatur, set eius tutela non grauatur. tutela enim uirile officium est atque a feminis alienum.

De legitima parentum tutela. Titulus 18.

Filium meum aut filiam meam, aut nepotem aut neptem, cum adhuc essent impuberes, emancipaui. tutore indigent; quisnam tutor erit? tutorem testamento datum ne dicere quidem est testamento enim is tutorem relinquit, qui impuberem in potestate habet; set neque adgnatum, quia dissoluuntur emancipatione adgnationis iura. quis ergo ad eorum tutelam uocabitur? sicut iam superius diximus, pater uel auus, qui eos manumiserint, tutelam quoque ad similitudinem patronorum gerent, qui et ipsi legitimi tutores uocabuntur.

De fiduciaria tutela.[1]) Titulus 19.

Πρὸς ταῖς εἰρημέναις ἐπιτροπαῖς ἐστι καὶ ἑτέρα, ἥτις λέγεται **fiduciaría.** *ἐὰν γὰρ* **emancípaton** *ποιήσω τὸν ἐμὸν υἱὸν ἢ θυγατέρα ἢ ἔκγονον ἢ ἐκγόνην ἢ προέκγονον ἢ προεκγόνην*[2]) *ἀνήβους ὄντας, ἐγὼ μὲν*[3]), *καθάπερ ἐν τῷ πρὸ τούτου*[4]) *διεξήλθομεν τίτλῳ, γίνομαι αὐτῶν* **legítimos** *ἐπίτροπος. ὁ γὰρ ἐλευθερωτὴς ἐλευθέρας κεφαλῆς κατὰ μίμησιν τοῦ ἀπ' ἀληθοῦς δουλείας ἐλευθεροῦντος κληθήσεται ἐπὶ τὴν ἐπιτροπήν. εἰ δὲ συμβῇ με τελευτῆσαι ἔχοντα παῖδας ἄρρενας, γενήσονται οὗτοι* **fiduciárioi**[5]) *ἐπίτροποι τοῦ ἀνήβου, οὗπερ διὰ τὴν* **emancipatíona** *γέγονα* **legítimos** *ἐπίτροπος. συμβαίνει δὲ οὐ μόνον ἀδελφὸν ἀδελφῷ*[6]) *γίνεσθαι* **fiduciárion** *ἐπίτροπον, ἀλλὰ καὶ θεῖον ἀνεψιῷ*[7]) *καὶ πατέρα παιδί.*[8]) *καὶ ἀδελφὸν μὲν ἀδελφῷ*[9]) *οὕτως· εἶχον δύο παῖδας τὸν μὲν ὄντα κς*[10]) *ἐνιαυτῶν ἢ καὶ μείζονος ἡλικίας, τὸν δὲ ἄνηβον. τὸν ἄνηβον ποιήσας* **emancípaton** *ἐπετρόπευον αὐτοῦ ὡς* **legítimos.** *ἐμοῦ τελευτήσαντος, ὁ ἀδελφὸς ὁ τέλειος γενήσεται αὐτοῦ* **fiduciários** *ἐπίτροπος. Θεῖος δὲ ἀνεψιῷ*[11]) *τίνα τρόπον; εἶχον υἱὸν μείζονα τῶν κε ἐνιαυτῶν καὶ ἔκγονον ἢ ἐκγόνην ἀπὸ υἱοῦ προτελευτήσαντος*[12]). *ἐποίησα τὸν ἔκγονον* **emancípaton**· *ἐγὼ μὲν ὡς* **legítimos** *ἐπιτροπεύσω, μετὰ δὲ τὸν ἐμὸν θάνατον ὁ θεῖος ὡς* **fiduciários** *ἐπιτροπεύσει. πατὴρ δὲ παιδὸς*[13]) *τοῦτον τὸν τρόπον· εἶχον ἐγὼ*[14]) *υἱὸν μείζονα τῶν*[15]) *κε ἐνιαυτῶν καὶ ἄνηβον ἔκγονον ἐκ τούτου. τὸν ἔκγονον* **emancípaton** *ἐποίησα· ἐγὼ μὲν ὡς* **legítimos** *ἐπιτροπεύσω, μετ' ἐμὲ ὁ πατὴρ ὡς* **fiduciários** *ἐπιτροπεύσει. ἀλλ' ἔχει τις εἰπεῖν· τί δήποτε οἱ μὲν τοῦ πάτρονος παῖδες* **legítimoi** *λέγονται ἐπίτροποι τῶν ἀνήβων ἀπελευθέρων ὥςπερ καὶ οἱ πάτρονες*[16]), *οἱ δὲ τῶν πατέ-*

---

1) *περὶ τεθαρρημένης ἐπιτροπῆς* R. F.; *περὶ πεπιστευ[μένης] ἐπιτροπῆς* L1. 2) haec uerb. d. P. 3) d. Vi. R. 4) *τούτῳ* P. 5) fiduciarii F. 6) *—φοῦ* P. 7) *—ψιοῦ* P. 8) *—ός* P. 9) *—φοῦ* P. 10) *κε* Vi. R. 11) ita cum R. 12) *τελευτ.* Vi. R. 13) *παῖδα* R., qui cj. *παιδί* 14) d. Vi. R. 15) d. Vi. R. 16) *τῶν ἀν. ἀπ. ως. κ. οἱ π.* d. Vi. R.

De fiduciaria tutela. Titulus 19.

Praeter iam dictas tutelas alia quoque est, quae fiduciaria appellatur. si enim filium meum emancipauero uel filiam uel nepotem uel neptem uel pronepotem uel proneptem impuberes, ego quidem, sicuti proximo titulo proposuimus, legitimus eorum tutor fio. liberi enim capitis manumissor ad imitationem eius, quia a uera seruitute manumittit, ad tutelam uocabitur. sin autem moriar liberis uirilis sexus extantibus, isti fiduciarii tutores impuberis efficientur, cuius per emancipationem legitimam tutelam nactus sum. nec tantum fit frater fratri fiduciarius tutor, set etiam patruus nepoti[a]) aut pater filio. et frater quidem fratri ita. duos habebam filios, quorum alter XXVI annorum aut maior erat, alter uero impubes. impuberem cum emancipassem, legitimam eius tutelam nactus eram. me autem defuncto, frater qui aetate maior est, fiduciarius tutor eius fiet. Patruus autem nepoti quomodo? cum filium XXV annis maiorem haberem et nepotem ex filio praemortuo, nepotem emancipaui. ego quidem eius legitimam tutelam nanciscar, me autem mortuo, patruus fiduciarius tutor erit. Pater autem filii ita. cum filium XXV annis maiorem haberem et nepotem ex eo impuberem, nepotem emancipaui. eius quidem legitimam tutelam ego nanciscar, post autem eius mortem pater fiduciarius tutor erit.

Set erit qui dicat. quomodo fit ut patroni liberi legitimi impuberum libertorum tutores dicantur, quemadmodum et ipsi patroni, liberi autem parentum, qui impuberes emanci-

a) »et nepos patruo« addi poterat, set Thus nulla probabili ratione omisit.

ρων τῶν ποιησάντων **emancipátus** *τοὺς ἀνήβους διαλλάττουσι τῇ προσηγορίᾳ. οἱ μὲν γὰρ λέγονται* **legítimoi** *ἐπίτροποι, οἱ δὲ τούτων παῖδες* **fiduciárioi.** *ἀλλ' ὁ λογισμός ἐστιν οὗτος. εἰ μὴ συνέβη με*[1]) *ποιῆσαι περιόντα τὸν ἐμὸν υἱὸν αὐτεξούσιον, τῇ ἐμῇ τελευτῇ ἐγίνετο αὐτεξούσιος οὐ μεταπίπτων εἰς τὸ* **in potestate**[2]) *τοῦ οἰκείου ἀδελφοῦ ἢ τοῦ ἰδίου θείου. διὸ οὐδὲ τὴν αὐτὴν ἕξει ἐπιτροπὴν ὁ παῖς τοῦ* **emancipateúsantos,** *ἀλλὰ κληθήσεται* **fiduciários.** *ὁ δὲ ἀπελεύθερος εἰ μὴ ἠλευθερώθη, ἀλλ' ἔμεινεν ἐν τῇ δουλείᾳ, πάντως οἰκέτης ἐγίνετο τῶν παίδων τοῦ τελευτήσαντος. Τότε δὲ οἱ προειρημένοι πάντες εἰς τὰς προλεχθείσας ἐπιτροπὰς ἕλκονται, ἡνίκα συμβῇ μείζονας αὐτοὺς εἶναι τῶν κε ἐνιαυτῶν· τοῦτο γὰρ γενικῶς διάταξις τοῦ ἡμετέρου βασιλέως ἐπὶ πάσης ἐπιτροπῆς τε καὶ κουρατωρείας κρατεῖν*[3]) *ἐθέσπισεν, ἄτοπον ἡγησαμένη*[4]) *τὸν δεόμενον τῆς ἑτέρου κηδεμονίας τὴν ἑτέρων διοικεῖν περιουσίαν.*

De atiliano tutore uel eo qui ex lege Iulia et Titia dabatur.[5]) Titulus 20.

Púpillos *ἢ* **pupílla** *ἐδέοντο ἐπιτρόπου.*[6]) **testamentários** *οὐχ ὑπῆν οὐδὲ μὴν* **adgnátos,** *ἤργει δὲ καὶ πατρονικὴ ἐπιτροπή, οὐδὲ πατὴρ ἦν ὁ*[7]) *κατὰ μίμησιν τῶν πατρόνων ἐπιτροπεύειν ὀφείλων*[8]). *ἐσχόλαζε καὶ* **fiduciaría** *ἐπιτροπή. τίς κληθήσεται ἐπὶ τὴν ἐπιτροπήν;*[9]) *λέγομεν ὅτι ἐν τῇ Ῥώμῃ ὁ* **praétωr** *ὁ* **urbanòs** *μετὰ τοῦ μείζονος μέρους τῶν δημάρχων [ι δὲ ἦσαν οἱ πάντες]*[10]), *τουτέστι μετὰ ς ἢ ζ ἐπιζητήσας τὸν ἐπιτήδειον δίδωσιν,* **atilíu**[11]) *νόμου τοῦτο νομοθετήσαντος. ὅς*

---

1) F². *'μοι'.* 2) P., cet. *τὴν ὑπεξουσιότητα.* 3) d. R. 4) *ἡγησάμενος* R. 5) *περὶ* atilianû [ita L².] *ἐπιτρόπου ἢ τοῦ* [d. R.] *ἐκ τοῦ νόμου ἰουλίου καὶ τιτίου διδομένου* libri. ed. 6) *—ων* P. 7) d. G. 8) *ὀφ. ἐπ.* 9) gloss. redol. 10) L¹. L².; cett. add' *καί.* 11) *ἀτίλου* P.

parint, appellationem mutent? nam parentes legitimi tutores dicuntur, liberi autem eorum fiduciarii. set ratio praesto est. si enim uiuens filium meum non emancipassem, morte mea sui iuris esset factus, neque in fratris aut patrui potestatem incidisset; ideo neque eandem tutelam filius emancipatoris habebit, set tutor fiduciarius uocabitur. libertus uero, nisi manumissus fuisset, set in seruitute mansisset, omnimodo manumissoris liberorum seruus futurus erat. Tunc uero omnes, quos diximus, ad eiusmodi tutelas uocantur, cum XXV annis maiores sint. id enim generaliter principis nostri constitutio obseruari praecepit in omni tutela atque cura, cum absurdum esse existimaret eum qui alterius cura indigeat, aliorum bona administrare.

De atiliano tutore uel eo, qui ex lege Iulia et Titia dabatur. Titulus 20.

Pupillus aut pupilla tutore indigebant. non erat enim testamento datus, neque adgnatus; deerat et patronorum tutela. neque pater erat qui ad patronorum similitudinem tutor esse deberet, neque tutela fiduciaria locum habebat. quis ad tutelam uocandus est? dicimus Romae quidem praetorem urbanum cnm maiore parte tribunorum plebis (qui X omnino erant), idest cum VI aut VII, inquisitione facta, idoneum tutorem dare, idque lege Atilia cautum erat. qui tutor a legis-

ἐκ τοῦ νομοθέτου τοῦ εὑρόντος λέγεται **atilianós.**[1]) *στε-*
νωτάτη δὲ ἡ τούτου νομοθεσία· μέχρι γὰρ τῆς Ῥώμης
καὶ[2]) *οὐ περαιτέρω προβαίνει. ἐν δὲ ταῖς ἐπαρχίαις κατὰ*
μίμησιν τούτου γεγόνασι β̄ νόμοι **iúlios** *καὶ* **titianòs**[3]), *οἱ ἐκέλευσαν*
ἐν ἀπορίᾳ ἐπιτρόπου κρίσει τοῦ ἄρχοντος τῆς ἐπαρχίας δίδο-
σθαι ἐπίτροπον, ὃς[4]) *ἐξ αὐτῶν ὠνόμασαν* **iuliotitianós.**[5]) **1.** 1.
Οὐ μόνον δὲ τῷ μὴ ἔχοντι ἐπίτροπον[6]) *δίδοται* **atilianòs** *ἢ*
iuliotitianòs, *ἀλλὰ γὰρ καὶ*[7]) *εἰ ὕπεστι [μὲν], ἐμποδίζεται δὲ*
ὑπό τινος αἰτίας ἀντιλαβέσθαι τῆς ἐπιτροπῆς. τί γὰρ ὅτι[8]) *τε-*
λευτῶν τις τὸν ἴδιον υἱὸν ἐνεστήσατο κληρονόμον, δέδωκε δὲ
αὐτῷ ἐπίτροπον ὑπὸ αἵρεσιν, **si nauis ex Asia uenerit**[9]) *ἢ* **in**
diem[10]) *τουτέστι μετὰ διετίαν τῆς αὐτοῦ τελευτῆς; ἐφ' ὅσον*
ἡ αἵρεσις ἢ [ἡ][11]) *ἡμέρα ἤρτηται,* **atilianòs** *ἤτοι* **iuliotilianòs**
ὁ κυκλωθεὶς ἀγρὸς διὰ τὸ καὶ πάλαι ὑπ'[1]) ἐμοῦ δεσπόζεσθαι. 23. Εἰ δὲ τῆς φυσικῆς νηδύος[2]) παντελῶς καταλειφθείσης κατ' 23. ἄλλο μέρος ἤξατο ῥεῖν ὁ ποταμὸς, ἡ μὲν προτέρα αὐτοῦ νηδὺς ἐκείνων ἔσται οἳ πλησίον τῆς ὄχθης αὐτοῦ ἀγροὺς κέκτηνται κατὰ τὸ μέτρον δηλαδὴ τῆς πλατύτητος ἑκάστου[3]) ἀγροῦ τῶν παρ' ἑκάτερα, ἥτις πλατύτης πλησιάζει τῇ ὄχθῃ, ἡ δὲ νέα[4]) νηδὺς ἐκείνου ἄρχεται εἶναι τοῦ δικαίου, οὗ καὶ ὁ ποταμὸς, τουτέστι publícu.[5]) εἰ δὲ μετά τινα χρόνον εἰς τὴν προτέραν ὑπέστρεψε[6]) νηδὺν, πάλιν ἡ νῦν καταλειφθεῖσα ὑπ' αὐτοῦ νηδὺς[7]) ἐκείνων εἶναι ἄρχεται τῶν πλησίον τῆς ὄχθης αὐτοῦ κεκτημένων ἀγρούς. 24. Ἕτερόν τι ἐστὶν εἰ πλημμυρήσας ὁ 24. ποταμὸς ὅλον ἐπέκλυσέ μου τὸν ἀγρόν. ἐνταῦθα γὰρ οὐκέτι λέγομεν τὸν ἀγρὸν[8]) γίνεσθαι públicon, οὐδὲ ἀμείβεσθαι αὐτοῦ τὴν δεσποτείαν· μένει γὰρ οὐδὲν ἧττον ἐμόν. ὅθεν ἐὰν ἀναχωρήσῃ τῶν τόπων ἐκείνων οὓς ἐκάλυψεν ἐπικλύσας, τὸν ἐμὸν ἀγρὸν ἀναλήψομαι, τῆς δεσποτείας οὐ γινομένης τῶν παρακεκτημένων, καθάπερ ἡ νέα νηδὺς públíca γενομένη τῇ τοῦ ποταμοῦ ἀναχωρήσει τῶν παρακεκτημένων γίνεται. 25. Ἐξ ἀλλο- 25. τρίας ὕλης εἶδος ἐποίησέ τις. ζητεῖται τίς τοῦ εἴδους ἐστὶ δεσπότης κατὰ[9]) φυσικὸν λόγον, πότερον ὁ τὴν ὕλην εἰς εἶδος ἀμείψας ἢ ὁ τῆς ὕλης δεσπότης κύριος ἔσται καὶ τοῦ εἴδους. οἷον[10]) ἐξ ἀλλοτρίων σταφυλῶν ἢ ἐλαιῶν ἢ σταχύων οἶνον ἢ ἔλαιον ἢ σῖτον ἐποίησεν[11]), ἢ ἐκ βώλου ἀλλοτρίας[12]) χρυσοῦ ἢ ἀργύρου ἢ χαλκοῦ ἐποίησέ τι σκεῦος, ἢ ἐξ ἀλλοτρίου οἴνου καὶ μέλιτος ἐποίησεν οἰνόμελι ἢ ἐξ ἀλλοτρίων φαρμάκων ἔμπλαστρον ἢ κολλύριον συνέθηκεν ἢ ἐξ ἀλλοτρίου ἐρίου ἐσθῆτα ἐποίησεν ἢ ἐξ ἀλλοτρίων σανίδων πλοῖον ἢ ἀρμάριον ἢ ὑποπόδιον κατεσκεύασεν.[13]) καὶ γεγόνασιν ἐπὶ τούτῳ[14]) πολλαὶ φιλονεικίαι τῶν

---

1) ἐπ' Vi. 2) ἤτοι κοίτης add. Vi. R. 3) ἑκατέρου ed. ant. F. 4) καινὴ L6. Vi. R. 5) ἤτοι δημοσίου add. L6. L2. 6) ἐπέστρ. G. 7) ita M.: cet. ὑπ' αὐτοῦ καταλ. 8) ὅλον add. Vi. R.: de L6. 9) τὸν add. Vi. F. R. 10) ἐξ ἀλλοτρίων φαρμάκων ἔμπλαστρον ἢ κολλύριον συντέθεικεν hic ins. Vi. R. 11) ἐποίησέ τις Vi. R. 12) ita M. —τρίου L2.: cet. ἐξ ἀλλοτρ. χρ. etc. 13) ἢ ἀρμ. . . . κατέσκ. de. Vi. 14) τούτων Vi. R.

23. antea meo pertineret dominio. 23. Si naturali alueo in uni-
uersum derelicto, alia parte fluere coeperit flumen, prior qui-
dem alueus eorum erit, qui prope ripam eius praeda possi-
dent pro modo scilicet latitudinis cuiusque agri, qui utrinque
sit, quae latitudo prope ripam sit: nouus autem alueus eius
iuris esse incipit, cuius et ipsum flumen, id est publici. quodsi
post aliquod tempus ad priorem alueum reuersum fuerit flu-
men, rursus qui nunc relictus est alueus eorum esse incipit
24. qui prope ripam eius praedia possident. 24. Alia sane causa
est si flumen aquis redundans meum inundauerit praedium:
tunc enim non dicimus praedium publicum fieri neque domi-
nium mutare; manet enim nihilominus meum. quare si recesse-
rit flumen ab his locis, quos inundans cooperuit, meum agrum
recipiam, neque dominium iis pertinebit, qui prope flumen prae-
dia possident; sicuti nouus alueus publicus factus, flumine rece-
25. dente, eorum fit qui prope ripam praedia habent. 25. Ex
aliena materia speciem quis fecit: quaeritur uter speciei na-
turali ratione dominus sit, utrum qui materiam ad speciem re-
duxit, an potius materiae dominus speciei quoque proprieta-
tem nanciscatur. ut ecce, ex alienis uuis aut oliuis aut spi-
cis uinum aut oleum aut frumentum fecit, aut ex massa
aliena auri aut argenti aut aeris uas aliquod fecit, uel ex
alieno uino et melle mulsum miscuit, uel ex alienis medi-
camentis emplastrum aut collyrium composuit, uel ex aliena
lana uestem fecit, uel ex alienis tabulis nauem uel armarium
uel subsellium fabricauit. et erant de hoc plures ambiguita-

sabinianōn *καὶ τῶν*[1]) proculianōn[2]). *οἱ μὲν* proculianoὶ *ἔλεγον τὸν τὸ εἶδος κατασκευάσαντα γίνεσθαι δεσπότην τοῦ κατασκευασθέντος, οἱ δὲ* sabinianoὶ *τὸν τῆς ὕλης δεσπότην κύριον ἠβούλοντο εἶναι τοῦ εἴδους. τρίτη δὲ γέγονε γνώμη μέση τις οὖσα, ἥτις ποτὲ μὲν τοῖς* sabinianoῖs, *ποτὲ δὲ τοῖς* proculianoῖs *συντρέχει, ἣν καὶ ὁ εὐσεβέστατος ἡμῶν ἀπεδέξατο*[3]) *δεσπότης. φησὶ γὰρ ἡ τρίτη γνώμη* [*ὅτι*] *εἰ τὸ κατασκευασθὲν εἶδος ἀναλυθῆναι*[4]) *δύναται εἰς τὴν παλαιὰν ὕλην, ἐξ ἧς γέγονεν, ὁ τῆς ὕλης δεσπότης καὶ τοῦ εἴδους ἔσται δεσπότης. εἰ δὲ τὸ εἶδος ἀναδραμεῖν εἰς τὴν ἀρχαίαν ὕλην οὐ δύναται, τὸν κατασκευάσαντα τὸ εἶδος εἶναι τοῦ γενομένου δεσπότην. οἷον, ὡς ἐπὶ θέματος,*[5]) *ἀπὸ βώλου χαλκοῦ ἢ ἀργύρου ἢ χρυσοῦ τὸ κατασκευασθὲν σκεῦος δύναται χωνευθὲν τὴν ἀρχαίαν ἀποτελέσαι βῶλον*[6]) *χαλκοῦ ἢ ἀργύρου ἢ χρυσοῦ, ὁ δὲ οἶνος ἢ τὸ ἔλαιον ἢ ὁ σῖτος εἰς σταφυλὰς ἢ ἐλαίας ἢ στάχυας*[7]) *ὑποστρέφειν οὐ δύναται, ἀλλ' οὐδὲ τὸ οἰνόμελι εἰς οἶνον καὶ μέλι διαλύεσθαι δύναται. ταῦτα μὲν ἐν ᾧ ἡ πᾶσα ὕλη ἀλλοτρία ἦν. εἰ δὲ ἐξ*[8]) *ἐμῆς καὶ σῆς ὕλης ἐποίησα τὸ*[9]) *εἶδος, οἷον ἐξ ἐμοῦ οἴνου καὶ μέλιτος σοῦ*[10]) *οἰνόμελι, ἢ ἐξ ἐμῶν καὶ σῶν φαρμάκων ἔμπλαστρον ἢ κολλύριον,*[11]) *ἢ ἐξ ἐμοῦ καὶ σοῦ ἐρίου ἐσθῆτα, ἀναμφίβολον ἐπὶ τούτου τοῦ θέματος τοῦτον εἶναι δεσπότην τὸν κατασκευάσαντα· οὐ γὰρ μόνον οἰκείαν ἐργασίαν ἐδαπάνησε περὶ τὸ εἶδος, ἀλλὰ καὶ μέρος παρέσχε*[12]) *τῆς ὕλης.* 26. *Εἰ δέ τις* 28.
ἀλλοτρίαν πορφύραν ἰδίῳ ἐνύφανεν ἐσθήματι, εἰ καὶ προςτεθεῖσα ἡ πορφύρα τιμιωτέρα τοῦ συννηθέντος[13]) *ἐστὶν ἐσθήματος, ἀλλ' ὅμως ἐν*[14]) *προςθήκης δεχθήσεται μέρει καὶ ὁ τῆς πορφύρας δεσπότης κατὰ τοῦ ὑφελομένου καὶ ταῦτα πράξαντος ἕξει τὴν* furti *καὶ τὸν* fúrtiuon[15]) condictícion, *εἴτε αὐτὸς ὁ*

---

1) de. ed. ant. F. 2) scripsi ex M. et L^2. (L^1. deest). 3) *ἐπεδέξατο* G. *ἐπελέξατο* L^6. Vi. R. 4) *—ληφθῆναι* L^2. 5) *—τι* L^2. 6) *μορφὴν* Vi. R. 7) *ἀστάχυας* L^6. L^2. 8) d. G. 9) L^6. *τι* Vi. R. 10) *σοῦ μέλ.* L^2. L^6. Vi. R. 11) de. Vi. R.: L^2. scribit *κολύριον* L^6.: *κολούριον.* 12) scripsi cum Vi. R.: cet. *—εἶχε.* 13) ita M.: *συνηλωθέντος* L^2.: *συνηνωθέντος* (sic) F. *συνενωθ.* L^6.: cet. ed. '*προςτεθέντος*'. 14) d. M. 15) fúrtibon M. L^2. *φουρτίβον* F. *τὴν* furti condictionem Vi. R.

tes Sabinianorum et Proculianorum. Proculiani dicebant qui speciem parauit eum speciei dominum fieri, Sabiniani autem qui materiae dominus esset eum speciei quoque proprietarium esse uolebant. tertia autem quodammodo media sententia inualuit, quae modo Sabinianis modo Proculianis fauebat, quae et piissimo principi nostro placuit. quae sententia ita se habet: si ea species quae parata est ad pristinam materiam, unde facta est, reduci potest, materiae dominus speciei quoque erit dominus; sin autem species ad pristinam materiam reuerti nequit, qui speciem confecit, is eiusdem dominus erit. ut ecce, exempli gratia, ex massa aeris uel argenti uel auri uas conflatum potest ad pristinam massam aeris uel argenti uel auri redigi: uinum autem uel oleum uel frumentum ad uuas uel oliuas uel spicas reuerti nequit, set ne mulsum quidem ad uinum et mel resolui potest. haec uero si tota materia aliena fuerit: nam si ex mea tuaque materia speciem fecerim, ueluti ex uino meo et tuo melle mulsum, aut ex meis tuisque medicamentis emplastrum uel collyrium, aut ex mea tuaque lana uestem, dubitandum non est quin in hoc casu is sit dominus qui fecerit, non solum enim ad speciem efficiendam
26. operam suam dedit, set et partem materiae praestauit. 26. Si quis uero alienam purpuram suo intexuit uestimento, licet adiecta purpura connexo uestimento pretiosior est, tamen accessionis locum optinet et purpurae dominus aduersus eum, qui eam subripuit et id fecit, furti actionem et condictionem

κεκλοφὼς τὸ ἔσθημα κατεσκεύασεν, εἴτε ἕτερος μὲν ὑφείλετο, ἕτερος δὲ τὸ κλαπὲν συνήνωσε τῇ ἐσθῆτι. in rem *γὰρ κινεῖν οὐ δύναται ὁ τῆς πορφύρας δεσπότης· δοκεῖ γὰρ ἡ πορφύρα τρόπον τινὰ ἀποσβέσθαι, τὸ μὴ εἶναι αὐτὴν καθ' ἑαυτήν. κινηθήσεται δὲ πάντως ὁ* fúrtiuos condícticios·[1]) *τὰ γὰρ ἀποσβεσθέντα πράγματα ἤτοι ἀφανισθέντα, εἰ καὶ διὰ τὴν* in rem *ἐκδικεῖν οὐχ οἱόντε, κατὰ τῶν κλεπτῶν μέντοι τὸν* fúrtiuon condictícion *καὶ κατὰ πάντων νομέων, εἰ καὶ μὴ εἶεν κλέπται, κινεῖν δυνησόμεθα. ἀλλ' εἰ μὲν κλέπτης ἐστὶν ὁ νεμόμενος τὸ*[2]) *τὴν πορφύραν ἔχον ἔσθημα, καὶ* furti *καὶ* furtíuῳ condicticíῳ *ἐναχθήσεται, εἰ δὲ ἕτερος παρὰ τὸν κλέπτην,*[3]) *τῷ* furtíuῳ condicticíῳ *κρατηθήσεται, οὐκέτι δὲ τῇ* furti. 27. *Ὕλαι δύο τινων* 27 *κατὰ γνώμην ἐμίγησαν τῶν δεσποτῶν, ἅπαν τὸ ἐκ τῆς μίξεως ἀποτελούμενον*[4]) *σῶμα ἑκατέρων ἔσται κοινόν. οἷον δύο τινες τὸν ἴδιον ἔμιξαν οἶνον ἢ βώλους ἀργύρου ἢ χρυσοῦ συνεχώνευσαν. εἰ δὲ διάφοροί*[5]) *εἰσιν ὕλαι, ὧν ἡ μίξις ἀπετέλεσέ τι ἰδιάζον*[6]), *οἷον ἐξ οἴνου καὶ μέλιτος οἰνόμελι ἢ ἀπὸ χρυσοῦ καὶ ἀργύρου ἤλεκτρον*[7]), *κἀνταῦθα λέγομεν κοινὸν εἶναι τῶν δύο τὸ ἀποτελεσθέν. ταῦτα μὲν ἐν ᾧ κατὰ γνώμην ἐπράττετο τῶν δεσποτῶν.*[8]) *εἰ δὲ καὶ*[9]) *ἐκ τύχης καὶ οὐ κατὰ προαίρεσιν τῶν δεσποτῶν συνεχύθησαν αἱ ὕλαι ἢ ἑτερογενεῖς ἢ ὁμοιογενεῖς,*[10]) *τὸ αὐτὸ γενήσεται.* 28. *Εἰ δὲ ὁ*[11]) Titíu *σῖτος τῷ σῷ σίτῳ* 28 *συνεμίγη καὶ μία γέγονε σωρὸς, εἰ μὲν ὑμετέρᾳ*[12]) *γνώμῃ κοινὴ ἔσται ἡ σωρὸς, ἐπειδὴ ἓν ἕκαστον σῶμα (τουτέστιν ἕκαστος κόκκος) ἐξ ὑμετέρας συναινέσεως ὑπὸ τὴν κοινὴν γέγονε δεσποτείαν· εἰ δὲ ἢ*[13]) *τυχηρῶς γέγονεν ἡ μίξις ἢ ὁ* Títios *οὐ κατὰ τὴν*[14]) *σὴν γνώμην ἔμιξε τὸν σῖτον, οὐκ ἔσται κοινὴ ἡ σωρὸς, ἐπειδὴ οἱ καθέκαστον κόκκοι ἐν τῇ οἰκείᾳ*[15]) *μεμνήκασιν ὑποστάσει καὶ οὐκ ἤμειψεν*[16]) *αὐτοὺς ἡ μίξις. ὥςτε οὖν οὐ γενή-*

---

1) condictio furti Vi. R. hic et deinc. 2) d. M. 3) plura hic perperam om. M. 4) *τὸ* add. L^2. 5) *—ραί* L^6. F. 6) *καὶ αἱ τῶν διαφ. ὁλῶν μίξ. ἀπέτ. τι ἰδ.* Vi. R. 7) ita R.: cet. *—τρος* 8) *τῶν δ. ἐπρ.* Vi. R. 9) de. Vi. 10) *οὐ* ed. ant. F. 11) *τοῦ* add. Vi. F. R. 12) *ἑτέρᾳ* L^2. 13) de. Vi. R. 14) d. Vi. R. 15) *ἰδίᾳ* Vi. R. 16) ita Vi. R.: M. L^2. L^6. F. = *ἔμιξεν.*

furtiuam habet, siue ipse fur uestimentum parauit, siue
alter subripuit et alter subreptam purpuram intexuit uesti-
mento. in rem enim agere nequit purpurae dominus: ui-
detur enim purpura esse quodammodo extincta, cum
per semet ipsam non amplius existat: condicetur tamen
omnino a fure. nam licet extinctae res per actionem
in rem uindicari non possint, a furibus et ab omnibus posse-
ssoribus condici possunt. set si fur ipse est qui uestimentum
purpura ornatum possidet, et actione et condictione furtiua
conuenietur, si alius praeter furem condictione furtiua tene-
27. bitur, non etiam furti actione. 27. Duorum materiae ex uo-
luntate dominorum confusae sunt: totum id corpus quod ex
confusione fit utriusque erit commune; ueluti si duo quidam,
uinum suum confuderint aut massas argenti et auri conflaue-
rint. set si diuersae materiae sint quarum confusio propriam
quandam speciem effecerit, ueluti ex uino et melle mulsum,
uel ex auro argentoque electrum, tunc etiam dicimus com-
munem esse utriusque speciem comparatum. haec uero quo-
tiens ex uoluntate dominorum id factum est; si uero fortui-
tu et inuitis dominis confusae fuerint materiae seu diuersi
28. seu eiusdem generis, idem optinebit. 28. Quodsi Titii fru-
mentum tuo frumento mixtum fuerit, et unus factus fuerit
aceruus, si quidem ex uoluntate uestra, communis erit acer-
uus, quia singula corpora, id est singula grana, ex consensu
uestro communicata sunt. quodsi casu id mixtum fuerit, uel
Titius frumentum miscuerit sine uoluntate tua, non erit com-
munis aceruus quia singula grana in sua durant substantia,
neque ea mixtio mutauit. itaque non fiet in eiusmodi casu

σεται κοινὴ[1]) σωρὸς ἐπὶ τοῦ τοιούτου θεματισμοῦ, ὥςπερ ἡ ἀγέλη τῶν προβάτων οὐ κοινωνοποιηθήσεται[2]) ἐὰν τὰ πρόβατα Titíu τοῖς σοῖς προβάτοις συναναμιγῇ. εἰ δὲ συμβῇ τὴν τοῦ σίτου σωρὸν ἢ ὑπό σου ἢ ὑπὸ Titíu διακατέχεσθαι[3]), ὁ ἕτερος κατὰ τοῦ νεμομένου κινήσει τὴν in rem. officion[4]) δὲ ἔσται τοῦ δικαστοῦ ὥςτε διατιμήσασθαι ὁποῖος ἦν ὁ ἑκάστου σῖτος καὶ πρὸς τὴν ποιότητα καὶ τὸ μέτρον τῷ áctori καταδικάσαι τὸν νομέα.

29. Ἐάν τις ἐν τῷ ἰδίῳ ἐδάφει οἶκον κατασκευάσῃ ἐξ ἀλλο- 29.
τρίων ὑλῶν, δεσπότης γίνεται τοῦ κατασκευασθέντος· τὸ γὰρ ἐποικοδομηθὲν εἴκει τῷ ἐδάφει, ἐκείνου δήλου ὄντος ὅτι ὁ τῆς ὕλης δεσπότης τῆς δεσποτείας[5]) οὐκ ἐκπίπτει τῆς ὕλης αὐτῆς εἰς τὸ διηνεκὲς, ἀλλ' ἐφ' ὅσον ἕστηκε τὸ οἰκοδημα, οὔτε τὴν in rem κινεῖν οὔτε τὴν ad exhibendum[6]) δύναται, διὰ τὸν δωδεκάδελτον νόμον, ᾧτινι διηγόρευται ἵνα μηδεὶς ἀλλότριον ξύλον ἐργάσιμον τοῖς ἰδίοις οἰκήμασι συζευχθὲν[7]) ἐξελεῖν ἀναγκασθῇ, ἀλλ' ἵνα τὴν διπλασίονα αὐτοῦ καταβάλῃ τιμὴν κινουμένης ἀγωγῆς personalías[8]), ἥτις λέγεται de tigno[9]) iuncto[10]). χώρα δὲ ταύτῃ τῇ ἀγωγῇ οὐ μόνον, ἡνίκα ξύλον τῆς ἐμῆς δεσποτείας ὑποβάλῃ τις τῷ ἰδίῳ οἰκοδομήματι, ἀλλὰ γὰρ καὶ εἰ λίθος καὶ εἰ βήσαλον καὶ εἰ κίων ᾖ,[11]) τῇ γὰρ τοῦ tígnu[12]) προσηγορίᾳ ἅπασα ὕλη σημαίνεται, δι' ἧς οἰκοδομεῖν οἷόντε. διὰ τοῦτο δὲ ταῦτα νενομοθέτηται τῷ δωδεκαδέλτῳ νόμῳ, ὥςτε μὴ κινεῖσθαι in rem ἢ ad exhibendum, προφάσει τοῦ ξύλου τοῦ συναναπλακέντος τῷ ἐμῷ οἰκοδομήματι, ἵνα μὴ τοῦ δικαστοῦ με καταδικάσαντος[13]) εἰς αὐτὸ τὸ πρᾶγμα ἀναγκασθῶ τὸν οἶκον καταλῦσαι, προφάσει τοῦ ποιῆσαι τῇ ἀποφάσει τὸ ἱκανόν. πολλάκις γὰρ[14]) τῆς ἐξ αὐτοῦ προνοίας ἠξίωσεν ὁ δωδεκάδελτος

---

1) ita M.: cet. add. ἡ. 2) ita M. L^{2}. : cet. 'κοινοπ.' 3) ἀξίωμα ins. L^{2}. (sic). 4) officium Vi. R. 5) οὐκ ἐκπ. τῆς δεσπ. Vi. R. 6) ἤγουν τὴν παραστατικὴν εἰς ἀπαίτησιν add. Vi. R.: P. = 'παραστατικὴν τῶν πραγμάτων ἀγωγήν'. 7) ἀλλοτρίαν ὕλην . . συζευχθεῖσαν L^{6}. 8) περσονάλίς ed. ant. F. 9) ligno L^{2}. 10) iniuncto Vi. R. 11) ita M, cum quo fere facit L^{2}.: cet. καὶ εἰ λίθον ἢ β. ἢ κίονα. 12) lígnu L^{2}. 13) καταδικάσ. με. omn. praeter M. 14) καὶ πολλῆς Vi. R.: L^{2}. L^{6}. M. P. Taur. F. 'πολλάκις γὰρ'. Cf. quae nonuimus Rendie. Istit. Lomb. XVI 57 n.

communis aceruus, sicuti et grex non communicabitur si pecora tua Titii pecoribus mixta fuerint. si uero frumenti aceruus uel a te uel a Titio retineatur, alteruter in eum qui possidet in rem aget. officium autem iudicis erit aestimare quantum fuerit utriusque frumentum et pro qualitate et modo
29. actori possessorem condemnare. 29. Si quis in suo solo domum aliena materia aedificauerit, dominus fit aedificii: quia quod inaedificatur solo cedit: ita tamen ut materiae dominus eius dominio in perpetuum non cadat; set donec aedificium subsistat, neque in rem, neque ad exhibendum agere possit propter legem XII tabularum, qua cauetur ne quis tignum alienum suis aedibus iniunctum eximere cogatur, set ut duplum eius pretii praestet personali conuentus actione, quae uocatur de tigno iuncto. locus huic actioni fit non modo quotiens tignum meum quis aedibus suis iniunxerit, set etiam si de petra uel de latere uel de columna quaeratur; tigni enim appellatione omnis materia significatur, ex qua aedificari potest. quod ideo lege XII tabularum cautum est ne uindicari neque ad exhibendum agi possit propter lignum meis aedibus iniunctum, ne cum iudex me in rem condemnauerit, aedificium rescindere cogar, ut sententiae satisfaciam: saepius enim aedificiis lex XII tabularum consuluit. set si

τὰς οἰκίας. εἰ δὲ συμβῇ ἔκ τινος αἰτίας τὸ εἰρημένον οἴκημα καταπεσεῖν, ὁ τῆς ὕλης δεσπότης, εἰ μὴ διπλοῦν ἔτυχε κομισάμενος διὰ τῆς de tigno iuncto ἀγωγῆς,[1]) δύναται κινεῖν ἀκωλύτως καὶ[2]) in rem καὶ ad exhibendum. 30. Προλαβόντες[a]) 30. εἴπομεν[3]) ἐν οἰκείῳ ἐδάφει ἐξ ἀλλοτρίας ὕλης οἴκημά τινα κατασκευάσαντα· νῦν τὸ ἐναντίον θεματίζομεν. ἐν τῷ σῷ ἐδάφει[4]) ἐμαῖς ὕλαις οἶκον κατεσκεύασα, ὁ τοῦ ἐδάφους κύριος καὶ τοῦ οἰκήματος ἔσται[5]) δεσπότης διὰ τὸν κανόνα τὸν λέγοντα εἴκειν τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις, ὥςτε οὖν τῆς ὕλης[6]) ἀπολλύω[7]) ἐγὼ διηνεκῶς τὴν δεσποτείαν. εἰδὼς γὰρ ἐν ἀλλοτρίῳ ᾠκοδόμουν ἐδάφει· ἀμέλει εἰ καὶ συμβῇ τὸν οἶκον καταπεσεῖν, οὐχ ἕξω ἐπὶ ταῖς ὕλαις τὴν in rem. ἐκεῖνο δὲ τῶν ἀμάχων ἐστιν, ὅτι εἰ[8]) συμβῇ ἐμὲ τὸν οἰκοδομήσαντα ἐν νομῇ εἶναι τῆς οἰκίας, ὁ δὲ τοῦ ἐδάφους δεσπότης χρώμενος τῷ κανόνι τῷ λέγοντι εἴκειν τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις κινεῖ κατ' ἐμοῦ τὴν in rem, εἰ μὲν bona fide[9]) ὑπῆρχον νομεὺς (ἐνόμιζον γὰρ ἐμὸν εἶναι τὸ ἔδαφος), λήψομαι οὐ μόνον τῆς ὕλης τὴν διατίμησιν ἀλλὰ καὶ τοὺς μισθοὺς τῶν τεχνιτῶν, καὶ μὴ βουλόμενον αὐτὸν[10]) ταῦτα πράττειν ἐξωθῶ διὰ τῆς τοῦ δόλου παραγραφῆς.[11]) εἰ δὲ mala fide[12]) ἐνεμόμην τὸν τόπον (ἠπιστάμην γὰρ αὐτὸν ἀλλότριον ὄντα), οὐδεμίαν ἕξω παραγραφὴν ἀλλ' ἀναγκάζομαι τὸν τόπον ἀποδιδόναι μετὰ τῶν ἐπιτεθέντων· δύναται γὰρ ἕκαστος ἐγκαλεῖν μοι προπετῶς[13]) τίνος χάριν εἰδὼς εἰς ἀλλότριον ᾠκοδόμουν τόπον.[14]) 31. Titios ἀλλότριον δένδρον ἐν τῷ οἰκείῳ 31. ἐφύτευσεν ἀγρῷ· Titíu ἔσται τὸ δένδρον· εἰ δὲ καὶ Títios οἰκεῖον δένδρον ἐν τῷ ἀγρῷ ἐφύτευσε Maeuíu, Maeuíu[15]) γενήσεται[16]) τὸ δένδρον, μόνον εἰ ἐν ἑκατέρῳ θέματι τὰς οἰκείας τὸ

---

1) Ita M.: cet. εἰ μήπω διὰ τῆς de. t. i. ἀγ. τὸ διαλ. ἔτυχε κομισάμ. 2) d. L^2. F. 3) —ομεν Vi. R. 4) ἐὰν add. Vi R. 5) ἔσῃ Vi. R. 6) σὺν τῇ ὕλῃ M. L^2. F. 7) ἀπόλωλα Vi. R. 8) καὶ add. L^2. 9) bonae fidei L^6. Vi. R. καλῇ πίστει L^2. 10) de. Vi. R. 11) λέγων· ἀλλ' εἰ μὴ καλῇ πίστει ἔκτισα Vi. R. add. 12) ἤτοι κακῇ πίστει add. L^2. 13) post εἰδὼς habent Vi. R. 14) τόπ. ᾠκοδ. L^2. F. 15) ita M. L^1.: L^2. maebíu: F. Maeuii: Vi. R. Μαιβίου. 16) ἔσται L^6.

a) Suppl. Bas. 35 schol.

aliqua ex causa dirutum sit aedificium, dominus materiae si non fuerit duplum per actionem de tigno iuncto iam perse-
30. cutus, eam uindicare et ad exhibendum agere potest. 30. Iam de eo perspectum habemus qui in suo solo aliena materia domum aedificauerit. nunc de contrario casu dispiciamus. si in tuo solo mea materia aedificium construxerim, soli dominus etiam aedificii proprietatem nanciscetur propter regulam dicentem ea quae inaedificentur solo cedere; itaque materiae dominium in perpetuum amitto, sciens enim prudensque in alieno solo aedificaui. igitur si aedificium dirutum sit non potero materiam uindicare. certe illud constat, si in possessione aedificii me aedificatore constituto, dominus soli regula nisus qua aedificia solo cedunt, ad uindicandum agat, si bona fide possessor fuerim (putabam enim solum meum esse), non modo materiae pretium me consequi, set et fabrorum mercedes, eumque nolentem ea soluere, per doli exceptionem repellere posse. si uero mala fide locum possidebam (sciebam enim locum esse alienum), nullam habebo exceptionem set cogar fundum cum aedificio restituere; potest enim mihi a quoque culpa obici quod temere et prudens in solo aedificauerim
31. alieno. 31. Titius arborem alienam in suo solo plantauit: Titii arbor erit. et si Titius arborem suam in solo Maeuii plantauerit, Maeuii arbor fiet: utique utroque casu

φυτευθὲν ἐξέτεινε ῥίζας. πρὶν γὰρ τὰς ἰδίας ἐκτείνῃ[1] ῥίζας καὶ τῆς ὑποκειμένης δράξηται γῆς, τοῦ πάλαι δεσπότου ἐστὶ τὸ δένδρον· μεθ' ὃ μέντοι ῥιζωθῇ τὸ εἰρημένον φυτὸν μετατίθεται αὐτοῦ ἡ δεσποτεία ἐπὶ τὸν κύριον τοῦ ἐδάφους, ἐν ᾧ ἵσταται. ἀμέλει ἐντεῦθεν ἐζητήθη τι τοιοῦτον. ὁ[2] ἐμὸς ἀγροτείτων ἐν τέλει τοῦ οἰκείου ἀγροῦ πλησίον τῶν ἐμῶν γηδίων δένδρον εἶχε. συνέβη τοῦ τοιούτου δένδρου κατὰ μικρὸν ἑρπούσας ὑπὸ γῆν τὰς ῥίζας ἐφικέσθαι τοῦ ἐμοῦ καὶ τῆς ἐμῆς δράξασθαι[3] γῆς κἀκεῖθεν[4] τρέφεσθαι. ζητήσεως γενομένης, ἤρεσεν ἐμὸν γενέσθαι τὸ δένδρον· οὐδὲ γὰρ φυσικὸς ἐπιτρέπει λογισμὸς ἑτέρου εἶναι τὸ δένδρον[5] ἤπερ[6] ἐκείνου, οὗ ἐν τῇ γῇ τὰς ῥίζας ἔχει. ὅθεν εἰ[7] ἐν τοῖς ὅροις τῶν δύο ἀγρῶν ἀναφύει[8] δένδρον, ἐκταθεῖσαι δὲ αἱ ῥίζαι αὐτοῦ[9] ἑκάτερον κατέλαβον ἀγρὸν, κοινὸν γενήσεται τὸ δένδρον. 32. Ὥςπερ δὲ[10] 32

τὰ φυτὰ τὰ ἐν τῇ γῇ τρεφόμενα καὶ αὐξόμενα[11] ἐκείνου γίνεται, ὃς δεσπόζει[12] τῆς ὑποκειμένης γῆς, τῷ αὐτῷ λόγῳ καὶ τὰ σπειρόμενα, οἷον σῖτος κριθὴ καὶ ὅσα τοιαῦτα, ὑπείκει τῷ ἐδάφει. ἀλλ' ὥςπερ ὁ bona fide[13] κτίσας ἐν ἀλλοτρίῳ τόπῳ ἐναγόμενος τῇ in rem διὰ τῆς τοῦ δόλου παραγραφῆς ἑαυτῷ ποιεῖ τὸ ἀζήμιον, ὁμοίως καὶ ὁ[14] σπείρας οἰκείοις δαπανήμασι τὸ ἀλλότριον ἀγρὸν, ἐν ᾧ bona fide[15] τοῦτο πεποίηκε, διὰ τῆς τοῦ δόλου παραγραφῆς ἕξει τὸ ἀσφαλές. 33. Ἐμούς[16] τις λα- 33

βὼν χάρτας ἢ ἐμὰς βεμβράνας[17] ἐνέγραψέ τι ἐν[18] αὐτοῖς, κἀνταῦθα κατὰ μίμησιν τοῦ ἐδάφους εἴκει τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις εἰ καὶ τὰ μάλιστα χρυσᾶ ἐστι τὰ ἐπιτεθέντα γράμματα, κἀγὼ γίνομαι τοῦ βιβλίου δεσπότης. ἀδιάφορον δέ ἐστιν εἴτε ἔμμετρον ἔπος εἴτε ἱστορίαν[19] ἤγουν ῥητορικὸν ἐνέγραψε λόγον, ὅθεν κινῶν ἐγὼ τὴν in rem κατὰ τοῦ τὸ βιβλίον ποιή-

---

1) —ει M. 2) d. M. 3) —ξαι Vi. R. 4) κἀκεῖ M. 5) τὸ δ. εἶν L^1. L^2. F. Vi. R. 6) εἴπερ Vi. 7) ὃ M. 8) ἀναφυηθὲν L^1. ἀναφυεῖ (i. e. ῇ) L^2. —ῃ F^1. 9) ita M. αἱ τούτου ῥ. L^1. L^2. L^6. F^1. Vi. R. 'αἱ αὐτοῦ ῥ.' F^2. 10) γὰρ Vi. R. 11) —ανόμενα Vi. R. 12) τοῦ δεσπότου Vi. R. 13) καλῇ πίστει L^2. 14) addidi ex L^1. L^2. 15) κ. π. L^2. 16) —ὰς F^1. 17) ita scripsi ex M. L^1. L^2. βεβράνας L^6. Taur. 18) d. M. 19) ἱστορικὸν Vi. R.

si planta radices egerit. antequam enim suas egerit radices et glebas subiectas apprehenderit, pristino domino arbor pertinet: ex quo uero radices arbor egerit, proprietas eius ad dominum fundi in quo est plantata transfertur. itaque eiusmodi quaestio orta est. uicinus meus in termino agri sui prope confinium praediorum meorum arborem habebat: cuius arboris radices sub terra paullatim crescentes in meum fundum peruenerunt, terram meam apprehenderunt et inde nutriri coeperunt. cum ambigeretur, placuit meam arborem fieri: non enim permittit naturalis ratio alterius arborem esse, quam cuius in fundo radices habeat. et ideo prope fines duorum agrorum quae nascitur arbor, cuius radices extendantur et utrumque amplectantur fundum, communis fit.
32. 32. Sicut plantae quae in terra nutriuntur et coalescunt eius fiunt, cuius subiecta terra est, eadem ratione quae sata sunt, ueluti frumentum hordeum cetera id genus, solo cedunt. set sicut is qui bona fide in alieno solo aedificauerit, in rem actione conuentus per exceptionem doli mali sibi indemnitatem quaerit, ita et qui suis impensis alienum fundum conseuerit, si modo id bona fide fecerit, per doli exceptionem tu-
33. tus erit. 33. Meis quis chartis membranisue usus aliquid in isdem scripsit: et hoc casu ad similitudinem soli superimposita subiectis cedent, licet aureae sint inscriptae litterae egoque libri dominus fiam. neque interest an metricum carmen, an historiam an orationem quis scripserit. si uero librum uin-

σαντος καὶ τὰ δαπανήματα τῆς γραφῆς, μὴ καταβαλὼν ἑτοίμως ἐκβληθήσομαι διὰ τῆς τοῦ δόλου παραγραφῆς, ἐν ᾧ bona fide[1]) *νομεὺς ἦν ὁ ταῦτα πράξας.*[2]) 34. *Λαβών τις ἀλλο-* 34.
τρίαν σανίδα ἐζωγράφησε καὶ εἰκόνα κατεσκεύασεν. τίνος ἐστὶν ἡ εἰκών, ἐζητήθη. καὶ οἱ μὲν λέγουσι τὸν ζωγράφον γίνεσθαι δεσπότην τῆς σανίδος καὶ τὴν σανίδα εἴκειν τῇ γραφῇ, ἕτεροι δὲ τὸν τῆς σανίδος δεσπότην[3]) *τῆς γραφῆς γίνεσθαι κύριόν φασιν, ὁποιαδήποτε εἴη*[4]) *γραφή. ὁ δὲ ἡμέτερος βασιλεὺς τὴν προτέρον*[5]) *μᾶλλον ἐδέξατο γνώμην καὶ τὸν ζωγραφήσαντα τῆς εἰκόνος γίνεσθαι βούλεται*[6]) *δεσπότην. καταγέλαστον γὰρ ἐνόμισεν εἶναι τὴν Ἀπέλλου*[7]) *ζωγραφίαν ἢ Παρρασίου*[8]) *ὑπείκειν τῇ εὐτελεστάτῃ σανίδι. ὅθεν εἰ ὁ τῆς σανίδος δεσπότης ἐν κατοχῇ γέγονε τῆς εἰκόνος, ὁ δὲ ζωγραφήσας ἔλθῃ κινῶν κατ' αὐτοῦ τὴν* in rem *μὴ καταβαλὼν τὸ τῆς σανίδος τίμημα, διὰ τῆς τοῦ δόλου παραγραφῆς ἐκβληθήσεται. εἰ δὲ ὁ ζωγραφήσας νέμεται τὴν εἰκόνα, τότε ὁ τῆς σανίδος δεσπότης* dírectan *μὲν* in rem *ἔχειν*[9]) *οὐ δύναται, ἐξέπεσε γὰρ τῆς δεσποτείας τῆς γραφῆς ἐπιτεθείσης, δίδοται δὲ αὐτῷ* utilía[10]) in rem, *ἵνα κινῶν οὕτω λέγῃ· ὡσανεὶ ὑπῆρχον*[11]) *δεσπότης. τῇ δὲ εἰρημένῃ* utilíᾳ[12]) in rem *χρώμενος, εἰ μὴ παράσχῃ τὰ περὶ τὴν ζωγραφίαν γενόμενα δαπανήματα τῷ* bona fide *ζωγραφήσαντι, ἐξωθεῖται διὰ τῆς τοῦ δόλου*[13]) *παραγραφῆς. καὶ ταῦτα μὲν τετρακτάϊσται ὅσον ἐπὶ τῇ δεσποτείᾳ τῆς εἰκόνος· ἐκεῖνο γὰρ τῶν ὡμολογημένων ἐστιν, ὅτι εἴτε ὁ ζωγραφήσας ἔκλεψε τὴν σανίδα, εἴτε ἕτερός τις, δίδοται τῷ δεσπότῃ ἡ* furti *κατὰ*
τοῦ κλέπτου. 35. *Ὑποπτεύσας εἶναί σε δεσπότην ἀλλότριον* 35.
ἠγόρασα παρὰ σοῦ ἀγρὸν ἢ κατὰ δωρεὰν ἔλαβον ἢ ἐξ ἄλλης αἰτίας εὐλόγου, bona fide *μέντοι, οἷον ἀπὸ* permutatíonos[14])

---

1) ita M. cet. —ae fidei. *καλῇ πίστει* L2. 2) dedi ex M. L1. L2.: cet. *γράφας.* 3) *καὶ* ad. Vi. F. R.; *κύριον γιν. φ.* Vi. R. 4) *ἡ* add. L1. L2. F. 5) *—ρων* G. 6) *βούλ. γίν.* L6. Vi. R. 7) *ζώγραφος δὲ οὗτος τῶν παρ' ἕλλησιν ἀριστευσάντων* add. libri, ed. omn. set glossema sapiunt. 8) *ηὐδοκίμησε δὲ οὗτος παρὰ Ῥωμαίοις:* item glossema redolent. 9) *ἔχ.* i. r. omn. praeter M. 10) utilis R. 11) *—χεν* ed. ant. F. 12) utili R. —lían M. 13) dólu M. 14) scripsi ex M. L1. L2.

dicans ab eo qui fecerit, impensas scripturae soluere paratus non sim, repellar exceptione doli mali, utique si possessor
34. bona fide fuerit qui id scripserit. 34. Aliena quis usus tabula, pinxit et imaginem confecit. quaesitum est cuius tabula picta esset. et quidam aiebant pictorem tabulae fieri dominum, tabulamque picturae cedere; alii autem dominum tabulae etiam picturae fieri proprietarium, qualiscumque pictura esse. princeps autem noster priorem praetulit sententiam, pictoremque dominum tabulae pictae fieri iussit. ridiculum enim putauit Apellis uel Parrhasii picturam uilissimae cedere tabulae. ideo si dominus tabulae imaginem possideat, pictor autem ad uindicandum agat nec tabulae pretium soluat per doli mali exceptionem repelletur. at si is qui pinxit imaginem possideat, dominus tabulae directa in rem actione experiri nequit, dominio enim eius cecidit, cum picta fuerit; utilis tamen in rem actio ei datur, quam intendens dicat: quasi dominus essem. qua utili actione in rem usus nisi soluat picturae impensam ei qui bona fide pinxit, repelletur per doli exceptionem. et haec de imaginis proprietate tractata sunt. illud enim palam est, quod, siue is qui pinxit subripuit tabulam siue alius, competit domino furti actio in eum qui sub-
35. ripuit. 35. Cum te dominum esse crederem, emi a te fundum alienum, uel ex donatione aliaue quae iusta causa aeque bona fide, ueluti permutatione, accepi. naturalis ratio uult

ὁ φυσικὸς λόγος βούλεταί με δεσπότην γίνεσθαι τῶν ληφθέντων[1]) καρπῶν διὰ τὴν ἐπιμέλειαν καὶ τὴν φροντίδα, ἣν ἐν αὐτοῖς ἐποιησάμην. διὸ μετὰ ταῦτα παραγενόμενος ὁ τοῦ ἀγροῦ δεσπότης καὶ διὰ τῆς in rem ἐκδικῶν τὸν ἀγρὸν, οὐδεμίαν ἀγωγὴν ἕξει κατ' ἐμοῦ περὶ τῶν καρπῶν, οὓς ἐντεῦθεν λαμβάνων ἐδαπάνησα. εἰ δὲ εἰδὼς ἀλλότριον ἐνεμήθη ἀγρὸν οὐ τεύξομαι αὐτῶν.[2]) ἀμέλει τοι τὸν ἀγρὸν ἀποκαθιστᾶν ἀναγκάζομαι[3]) μετὰ τῶν ἐντεῦθεν καρπῶν ληφθέντων, εἰ καὶ τούτους ἔτυχον ἀναλώσας. 36. Τοῦ αὐτοῦ ἀγροῦ ἐγὼ μὲν εἶχον τὴν proprieta- 36.
rían, σὺ δὲ τὸν usúfructon. οὐχ ἑτέρως σὺ usufructuários τῶν καρπῶν γενήσῃ δεσπότης, εἰ μὴ τούτους λάβῃς ἀπὸ τῆς γῆς. διὸ εἰ πεπείρων ὄντων τῶν καρπῶν καὶ τῇ γῇ συνηνωμένων[4]) συμβῇ σε τελευτῆσαι, οὐ λήψεται τούτους ὁ σὸς κληρονόμος, ἀλλὰ τῷ proprietaríῳ διοίσουσιν.[5]) τὰ αὐτὰ σχεδόν ἐστι καὶ ἐπὶ τοῦ colonû.[6]) ἐὰν γὰρ μισθῶ[7]) σοι ἀγρὸν, οὐ πρότερον γενήσῃ δεσπότης τῶν ἐντεῦθεν λαμβανομένων καρπῶν εἰ μὴ τούτους ἐξέλῃς τῆς γῆς. [τὸ fere[8]) δὲ ἤτοι σχεδὸν παρέλκεται[9])]. 37. Ἐπειδὴ δὲ περὶ usufrúctu διειλέχθην ἀγροῦ, 37.
ὀφείλεις εἰδέναι ὅτι usúfructos θρεμμάτων ἐστὶν ἡ ἐξ αὐτῶν γονὴ, ὥςπερ καὶ τὸ γάλα καὶ αἱ τρίχες καὶ τὸ ἔριον. τοιγαροῦν οἱ ἀρνοὶ καὶ οἱ ἔριφοι καὶ οἱ μόσχοι καὶ οἱ μικροὶ ἵπποι ἅμα τῷ τεχθῆναι φυσικῷ λόγῳ τῆς δεσποτείας γίνονται τοῦ usufructuaríu. a) οἱ δὲ τοκετοὶ τῆς θεραπαίνης οὐκ εἰσὶν ἐν καρπῷ, ὅθεν εἰ παραχωρήσω σοι ἐγὼ τῆς ἐμῆς θεραπαίνης τὸν usúfructon, σὺ μὲν ἕξεις ἐν καρπῷ τὴν ὑπερησίαν αὐτῆς καὶ τὴν ἀπὸ χειρῶν ἐργασίαν, τὸ δὲ τεχθὲν τῆς τοῦ proprietaríu γενήσεται[10]) δεσποτείας. ἀνόητον γὰρ ἐνομίσθη ἄνθρωπον συναριθμεῖσθαι τοῖς καρποῖς ὅτε[11]) πάντας τοὺς καρποὺς[12]) τῶν πραγμάτων φύσις χάριν ἐπενόησε τῶν ἀνθρώπων. 38. Εἰ 38.

---

1) λειφθ. M. 2) —ὸν M: 3) —άσομαι L1. L2. G. F. 4) συνημμένων Vi. R. '—ηνο—' (sic) F. 5) διοικήσουσι M. 6) scripsi ex M. L1. L2. 7) ita M.: cet. —ώσω. 8) σχεδὸν L6. 9) de glossemate iure suspicatur R. 10) γίνεται Vi. R. 11) ita M. cet. ὁπότε. 12) ἡ om. M.; cet. add.

a) Cf. Epi. 6, 39: ubi plura exciderunt. ibi τῆς δούλης legitur: in L6. τῶν θεραπαινῶν.

me perceptorum fructuum dominum fieri pro cultura et cura, quam in isdem impendi. et ideo postea superueniens fundi dominus fundum uindicaturus nullam in me habebit actionem de fructibus quos ego inde percipiens consumpsi. si uero sciens alienum possederim agrum, non faciam meos fructus: itaque et fundum cum inde perceptis fructibus restituere
36. cogar etiam si eos consumpserim. 36. Eiusdem agri proprietatem ego habebam, tu autem usufructum: non aliter dominus fructuum fies, quam si eos perceperis. et ideo si maturis fructibus adhuc tamen pendentibus decesseris, eos non percipiet heres tuus, set proprietario pertinebunt. eadem fere et de colono optinent. si enim agrum tibi locauerim, non prius dominus fructuum inde quaesitorum fies, quam eos a terra perceperis. [uocula autem fere superuacua uidetur].
37. 37. Cum de agri usufructu locutus sim, admonendus es usufructum pecudum fetum eorum esse, sicuti et lactem et pilum et lanam. itaque agni et haedi et uituli et equuli simul ac nascuntur naturali iure ad usufructuarium pertinent. partus uero ancillae non sunt in fructu; quare si tibi usumfructum ancillae meae cesserim, loco fructuum ministerium eius habebis et operam manuum eius, partus autem domini fiet. absurdum enim uisum est hominem fructibus communerari, cum fructus omnes rerum natura hominum gratia comparauerit.

δὲ ἀγέλης ἔχει τις **usúfructon** *εἰς τάξιν*[1]) *τῶν τελευτησασῶν*
κεφαλῶν[2]) *ἐκ τῆς γονῆς ὁ* **usufructuários** *ὑποβάλλειν*[3]) *καὶ τὸν*
ἀριθμὸν ἀναπληροῦν ὀφείλει· τοῦτο γὰρ[4]) **Iulianῷ**[5]) *δοκεῖ.*
οἷον παρεχώρησά σοι **usúfructon** *ἀγέλης προβάτων ἕκατον· συ-*
νέβη τελευτῆσαι τριάκοντα πρόβατα, τεχθῆναι δὲ πεντήκοντα·
δεῖ σε τὰ τριάκοντα συναναμίξαι τοῖς πρωτοτύποις ὥςτε σώζε-
σθαι τὸν δεδομένον σοι ἀριθμὸν καὶ οὕτως τὰ λοιπὰ εἴκοσι πρό-
βατα ἕξεις ἐν δεσποτείᾳ. 38 a). *Εἰ δὲ*[6]) *ἀμπελῶνος ἤγουν* 38a.
ἀγροῦ **usúfructón** *σοι παρεχώρησα, εἰς τάξιν τῶν τελευτησάν-*
των κεφαλαίων[7]) *ἢ γεγηρακυιῶν ἀμπέλων καὶ εἰς τάξιν τῶν*
καμόντων ἤτοι καταπεσόντων δένδρων ἕτερα ὀφείλεις ἀντικα-
θιστᾶν. δεῖ γάρ σε ὀρθῶς καὶ κατὰ τρόπον[8]) *ἐπιμελεῖσθαι τοῦ*
ἀγροῦ, οὗ παρεχωρήθη σοι ἡ **usúfructos** *καὶ οὕτω διαγίνεσθαι*
ὡς ἂν διεγίνετο[9]) *κάλλιστος οἰκοδεσπότης.* 39. a) *Ηὗρέ τις* 39.
θησαυρὸν ἐν τῷ ἰδίῳ ἀγρῷ. ὁ θειότατος **Adrianòs** *τὸ φύσει*
φυλάξας δίκαιον τῷ εὑρόντι παρεχώρησε τὸν θησαυρὸν, τὸ
αὐτὸ κελεύσας ἐάν τις ἐν **sácrῳ** *ἢ ἐν* **religiósῳ** *τόπῳ ἐκ τύ-*
χης εὕρῃ[10]). *εἰ δέ τις ἐν ἀλλοτρίῳ ἀγρῷ οὐκ ἐξεπίτηδες ἀλλὰ*
τυχηρῶς ηὗρε θησαυρόν, τὸ ἥμισυ τῷ δεσπότῃ τοῦ ἐδάφους
συνεχώρησεν **Adrianós**. *οὐκοῦν ἀκολούθως ἐάν τις ἐν βασι-*
λικῷ τόπῳ εὕρῃ θησαυρὸν, τὸ μὲν ἥμισυ τοῦ θησαυροῦ παρέ-
ξει τῷ βασιλεῖ, τὸ δὲ ἥμισυ ὁ εὑρὼν παρακαθέξει. εἰ δὲ καί
τις ἐν πολιτικῷ τόπῳ ἢ **fiscalíῳ** *εὕρῃ, ὡσαύτως τὸ μὲν ἥμισυ*
ὁ εὑρὼν ἀποκερδαίνει, τὸ δὲ[11]) *ἥμισυ ὁ*[12]) **fiscos**, *ἤγουν ἡ*
πόλις λήψεται. 40. *Φυσικὸς τρόπος κτήσεώς ἐστι καὶ ὁ τῆς* 40.
traditíonos[13]). *καὶ τί ἐστι* **tradití̄ωn**; *ἡ ἀπὸ χειρὸς εἰς χεῖρα*[14])
μετάθεσις, εὐαπάλλακτον καὶ ἀπερίεργον καὶ φυσικὴν τὴν πρᾶ-
ξιν ἔχουσα, οὐδὲν γὰρ οὕτως τῇ φύσει συνᾴδει ἢ τὸ βεβαιοῦ-

---

1) *χάριν* L[1]. 2) *—σάντων κεφαλαίων* L[1]. L[2]. F. *εἴγε τελευτήσωσιν ἐξ αὐτῶν* ins. L[6]. 3) *—λεῖν* M. 4) *καὶ* om. M. cet. add. 5) scripsi ex L[2].: L[1]. Iuliano: M. *Ἰουλιανῷ*. 6) *καὶ* add. M. 7) addidi ex M.: cet. om. R. '*τελευτησασῶν*'. 8) *ἀγαθὸν* add. Vi. R. *πιστὸν* ad. L[6]. 9) *—γέν—* L[1]. L[2]. 10) *εὗρε* ed. ant. F. 11) *ἕτερον* add. Vi. R. 12) d. F. 13) scripsi ex M. L[1]. L[2]. 14) ita L[1]. L[2]. F.: '*ἀποχειρῶν εἰς χεῖρα*' M.: *ἀπὸ χ—ος εἰς χ—ας* ed. ant. F. *ιχ—ας* l. L[6].

a) Cf. Paratitl. Voell. 2, 1308.

38. 38. Set si gregis usumfructum quis habeat, in locum demortuorum capitum ex fetu usufructuarius submittere et numerum explere debet: hoc enim Iuliano placet. ut ecce cessi tibi usumfructum gregis ouium centum: mortuae sunt oues XXX, natae L: oportet te gregi XXX addere ut numerum tibi traditum seruare possis: et ita ceteras XX oues in proprietate
38a. habebis. 38 a) Si uineae agriue usumfructum tibi cesserim, in locum demortuorum capitum seu uetustiorum uinearum et in locum arborum laborantium seu deiectorum nouas restituere debes. recte enim et commode agrum te colere decet, cuius tibi ususfructus cessus est et ita te gerere sicut bonus paterfamilias sese gereret.

39. 39. Inuenit quis thensaurum in suo agro: diuus Hadrianus naturalem aequitatem secutus, ei thensaurum concessit, qui inuenit, idem statuens si quis in sacro religiosoue loco fortuito casu inuenerit. si quis in alieno fundo non data ad hoc opera, set fortuitu thensaurum inuenerit, dimidium domino soli Hadrianus concessit. itaque conuenienter si quis in Caesaris loco thensaurum inuenerit, dimidium thensauri Caesari praestabit, dimidium inuentor sibi retinebit. sin autem quis in publico loco uel fiscali inuenerit, similiter ipse qui inuenit dimidium apiscitur, alterum uero dimidium fiscus uel
40. ciuitas consequetur. 40. Naturalis modus adquisitionis traditio quoque est. quid est traditio? a manu in manum translatio facile explicabilis, naturalem quandam actum praeseferens: nihil enim tam naturae conueniens est quam uolunta-

σθαι τὴν τοῦ δεσπότου γνώμην τὸ οἰκεῖον πρᾶγμα μετατιθέντος εἰς ἕτερον. εἰς δὲ τὸ διὰ traditíonos μεταθεῖναί με τὴν δεσποτείαν, δεῖ ταῦτα συνδραμεῖν, ὥςτε δεσπότην εἶναι τὸν traditeúonta καὶ ψυχῇ τοῦ βούλεσθαι μεταθεῖναι τὴν δεσποτείαν ποιεῖσθαι τὴν traditíona καὶ σωματικὸν εἶναι τὸ traditeuómenon.[1]) σωματικὸν μὲν διὰ τοῦτο εἶπον ἐπειδὴ τὰ ἀσώματα ἁφῆς ὄντα κρείττονα οὐκ ἐπιδέχονται[2]) traditíona. δεσπότην εἶναι τὸν traditeúonta διὰ τοῦτο εἶπον ἐπειδὴ ὁ μὴ ὢν δεσπότης οὐ δύναται μεταθεῖναι δεσποτείαν, ἣν οὐκ ἔχει. ψυχῇ τοῦ βούλεσθαι ποιῆσαι δεσπότην τὸν λαμβάνοντα διὰ τοῦτο πρόςκειται, ἵνα ἐξέλω τὴν χρῆσιν καὶ τὴν παρακαταθήκην· ἐπὶ τούτων γὰρ[3]) καὶ σωματικὸν τὸ πρᾶγμα καὶ δεσπότης ὁ traditeúων, ἀλλὰ παραδίδωσιν ἐλπίζων[4]) μικρὸν ὕστερον ἀναλαμβάνειν ταῦτα. οὐ διαφέρομαι δὲ ὁποιονδήποτε ἐστι τὸ παραδεδομένον πρᾶγμα ὑπὸ τοῦ δεσπότου, εἴτε ἀγρὸς italicòs[5]) εἴτε stipendiária κτήματα εἴτε tributória[6]). stipendiária δὲ καὶ tributória λέγεται τὰ κτήματα[7]) ἐν ταῖς ἐπαρχίαις διακείμενα. τῆς δὲ προσηγορίας αὐτοῖς[8]) γέγονεν ἐντεῦθεν ἡ πρόφασις. ὁ πάλαι ῥωμαίων βασιλεὺς πάσης κρατήσας γῆς θαυμασθεὶς δὲ παρὰ ῥωμαίων ἕνεκα τῆς οἰκείας ἀνδρείας διεῖλε τὰς ἐπαρχίας, καὶ τὰς μὲν αὐτὸς ἐκράτησεν[9]) ἑαυτῷ, τὰς δὲ ἀφώρισε τῷ δήμῳ. καὶ αἱ τοῦ δήμου ἐκλήθησαν stipendiáriai ἐντεῦθεν.[a]) stipes ἐστὶν ὁ ἔρανος καὶ ἡ κατὰ μικρὸν γενομένη τοῦ ἀργυρίου[10]) καὶ τῶν ἄλλων συλλογή· ἐπειδὴ οὖν ὀλίγα τινὰ οἱ ἐπαρχιῶται ἐκ τῶν παρ' αὐτοῖς γενομένων συνάγοντες ἔπεμπον τῷ δήμῳ ἐπὶ τῷ ταῦτα δαπανᾶν εἰς οἰκείας χρείας τε καὶ τέρψεις, διὰ τοῦτο ἐκλήθησαν stipendiáriai καὶ λοιπὸν ἀκολούθως καὶ αἱ οἰκίαι stipendiáriai καὶ

---

1) haec omnia ad normam L^{1}. L^{2}. potissimum scripsi. 2) —χεται L^{1}. L^{2}. L^{6}. Vi. R. 3) εἰ om. M. add. cet. 4) hanc u. post 'ἀλαλαμβ.' reiciunt Vi. F. R. 5) scripsi ex M. hic et deinc. 6) ita sane M. L^{1}. L^{2}. L^{6}. l. tamen —ária. 7) ita M.: d. L^{1}. L^{2}. F. post 'διακείμ.' scribunt Vi. R., qui addunt 'βασιλικῇ κελεύσει ὑπὸ τοῦ δήμου κρατούμενα'. 8) ita L^{1}. L^{2}. L^{6}.: —τῆς M. Vi. F. 9) ἐκράτ. αὐτ. Vi. R. 10) ἀργύρου Vi. F^{1}. R.

a) Cf. Ulpianum Dig. 50, 16, 27: Gai. 2, 21.

tem domini rem suam in alium transferre uolentis ratam haberi. ut uero dominium per traditionem transferatur haec concurrere debent, scilicet ut dominus sit, qui tradit, et ut animo transferendi dominium tradat, et ut corporalis sit res, quae traditur. corporalis ideo dicitur, quod res incorporales cum tangi nequeant ne tradi quidem possunt. dominum esse qui tradit ideo oportere diximus, quia is, qui non sit dominus, dominium quod non habet transferre nequit. animum dominium in accipientem transferendi ideo requirimus, ut usufructum et depositum excipiamus: in his enim corporalis res est et dominus qui tradit, set ita rem tradit, ut eam paullo post recipere speret. neque interest quae sit res a domino tradita, an ager italicus, an stipendiaria praedia, an tributaria. stipendiaria et tributaria ea audiunt praedia, quae in prouinciis sunt. huiusmodi appellationis ratio inde orta est. primus Romanorum imperator cum orbem terrarum omnem in sua dicione haberet, uirtutis propriae ergo mirificus, prouincias diuisit et quasdam quidem sibi retinuit, quasdam populo concessit. et populi prouinciae audierunt stipendiariae hac de causa: stipes est argenti et ceterarum rerum quae per modicum fit collectio. cum igitur pauca quaedam prouinciales de suis redditis colligerent ut ad populum mitterent, ut is ea in suas necessitates et delectationes consumeret, ideo stipendiariae prouinciae uocatae sunt; et conuenienter aedes stipendiariae et praedia sti-

οἱ ἀγροὶ stipendiárioi. *αἱ δὲ τοῦ βασιλέως ἐπαρχίαι ὠνομάσθησαν* tributóriai, *ἐπειδὴ* tribûtón[1]) *ἐστι τὸ βαρὺ τέλος, ὅπερ ἐπέκλα*[2]) *τοῖς οἰκείοις ἐπαρχιώταις ὁ βασιλεὺς, ὡς πολλὰ δαπανῶν περὶ τὴν τῶν στρατιωτῶν ἀποτροφήν.*[3])[a]) *καὶ οἱ τὰ* stipendiária *καὶ οἱ* tributória *ἔχοντες πάλαι κατὰ συγχώρησιν δήμου ἢ βασιλέως οὐκ ἦσαν δεσπόται, ἡ γὰρ δεσποτεία αὐτῶν ἦν ἢ παρὰ τῷ δήμῳ ἢ παρὰ τῷ βασιλεῖ, ἀλλ' εἶχον τὴν ἐπ'*[4]) *αὐτοῖς χρῆσιν καὶ ἐπικαρπίαν καὶ πληρεστάτην κατοχὴν, ὥςτε δύνασθαι καὶ ἐφ' ἑτέρων μεταφέρειν καὶ κληρονόμοις προπέμπειν. τῶν γὰρ* italicῶn *ἀγρῶν ἤτοι οἰκιῶν οἱ δεσπόται τὴν δεσποτείαν εἶχον. ἀλλὰ ταῦτα μὲν τὸ παλαιὸν, σήμερον δὲ διάταξις τοῦ εὐσεβεστάτου ἡμῶν*[5]) *βασιλέως οὐδεμίαν βούλεται εἶναι διαφορὰν* italicῶn *καὶ* stipendiaríωn *καὶ* tributoríωn. *ἀλλ' εἰ μὲν δεσπότης* traditeúsῃ *μοι τὸ οἰκεῖον πρᾶγμα ἀπὸ δωρεᾶς ἢ προικὸς ἢ ἐξ ἄλλης ἐναλλαγῆς οἱαςδήποτε αἰτίας, οἷον ἀπὸ* permutatíonos, *ἀναμφιβόλως μεταφέρει τὴν δεσποτείαν ἐπ' ἐμέ.* 41. *Εἰ δὲ πωλήσας* traditeúsῃ,[6]) *οὐχ ἑτέρως ἐπὶ* 41. *τὸν ἀγοραστὴν ἡ δεσποτεία μέτεισιν, ἐὰν μὴ ὁ ἀγοραστὴς τῷ πρατῇ τὸ τίμημα καταβάλῃ τοῦ πράγματος ἢ τὸ ἱκανὸν αὐτῷ ποιήσῃ. τί γάρ ὅτι δέδωκε* Títión *τινα ὑπὲρ αὐτοῦ ὁμολογήσαντα δώσειν τὸ τίμημα ἢ καὶ ἐνέχυρον παρέσχεν ὑπὲρ τοῦ τιμήματος; τοῦτο δὲ καὶ τῷ δωδεκαδέλτῳ διηγόρευται νόμῳ καὶ οὐδὲν*[7]) *ἧττον εὑρίσκομεν* iurisgéntion[8]) *ὂν*[9]) *τοῦτο τὸ νόμιμον, ἐπειδὴ πρόσεστιν αὐτῷ φυσικὴ δικαιοσύνη, διὸ παρὰ πᾶσι τοῖς ἔθνεσι πολιτεύεται. ὥςτε οὖν ἀεὶ μὲν ἐξ ἑτέρας αἰτίας* traditeúωn *δεσπότης μεταφέρει δεσποτείαν, ἐπὶ δὲ πράσεως οὐχ ἑτέρως, εἰ μὴ λάβῃ*[10]) *τίμημα ἢ τὸ ἀσφαλὲς αὐτῷ γένηται ἐπὶ τῷ τιμήματι. εἰ δὲ καὶ*[11]) *ὁ πράτης οὔτε ἔλαβε τὸ τίμημα, οὔτε ἔλαβέ τινα τὸν ὑπὲρ τοῦ ἀγοραστοῦ ἐπερωτώμε-*

---

1) ita L 1. 2) *ἐπέβαλε* Vi.: de uoc. cf. R. Gloss. theoph. II 1269. 3) *ἀνατροφ.* cj. R. 4) *ἱερὰν* (sic) L 1. 5) *ἡμετέρου* Vi. R. 6) ita R.: cet. *-σει.* 7) ita Vi. R. cet. *οὐδὲν δὲ.* 8) iuris gentium Vi. R. iuri géntion M. 9) *ὑπάρχειν* Vi. R. 10) *τὸ* ins. L 6. 11) d. Vi. R.

a) Gai. 2, 7.

pendiaria. Caesaris autem prouinciae uocatae sunt tributariae: tributum est enim grauis pecuniae impositio, quam idcirco Caesar prouincialibus suis constituit, quod multum ad militum sustentationem impendendum sibi erat. et qui stipendiaria uel tributaria praedia Caesaris populiue consensu haberent, non erant domini, cum eorum dominium apud populum uel apud Caesarem esset: set habebant in isdem usufructum et plenissimam possessionem, quam et in alios transferre et ad heredes transmittere poterant. italicorum autem agrorum seu aedium domini proprietatem habebant. set haec quidem olim in usu erant: hodie principis nostri constitutio nullam differentiam inter italica stipendiaria et tributaria praedia esse uult: set si dominus rem suam mihi tradat ex donatione seu dotis causa seu ex alia quaue ratione, ueluti
41. ex permutatione procul dubio dominium in me transfert. **41.** Si quis ad uendendum tradat, non aliter in emptorem dominium transit, quam si emptor uenditori rei pretium soluat aut satisfaciat. ut ecce si Titium quendam optulit, qui spondeat pro eo sese pretium daturum; uel pignus pro pretio dedit. hoc etiam lege XII tabularum cauetur; tamen inuenimus id iuris gentium esse, naturali enim aequitate nititur, quare et apud omnes gentes custoditur. itaque dominus qui ex alia qualibet causa tradit, dominium transfert: ex uenditionis causa non aliter, quam si pretium accipiat uel ei hac de re satisfiat. sin autem neque uenditor pretium acceperit, neque expromissorem ullum pro emptore, neque pignera, sequitur

νον, οὔτε ἐνέχυρα, ἠρκέσθη δὲ[1] *τῇ τοῦ ἀγοραστοῦ πίστει*
θαρρήσας, ὅτι λήψεται τὴν διατίμησιν, κἀνταῦθα λέγομεν εὐθέως
ἐπὶ τὸν ἀγοραστὴν μετιέναι τὴν δεσποτείαν. **42. Traditíonos** 42.
δὲ γενομένης οὐδεμία τις ἐστὶ[2] *διαφορὰ πότερον αὐτὸς ὁ δε-*
σπότης ἐστὶν ὁ **traditeúωn** *ἢ ἕτερος κατὰ γνώμην αὐτοῦ.* **43.** 43.
Τούτῳ τῷ λόγῳ ἐὰν ἄδειαν παράσχω τινὶ τοῦ διοικεῖν ὡς βού-
λεται τὴν ἐμὴν οὐσίαν οὗτος δὲ ἐκ τούτων τε πωλήσῃ τῶν
πραγμάτων καὶ **traditeúsῃ**, *μεταφέρει τὴν δεσποτείαν ἐπὶ τὸν*
λαμβάνοντα[3]. *δοκεῖ γὰρ κατὰ γνώμην*[4] *τοῦ δεσπότου τοῦτο*
πράττειν. **44.** *Ἔστι δὲ εὑρεῖν τινὰ θέματα ἐν οἷς καὶ παρα-* 44.
δόσεως χωρὶς γύμνη μόνον[5] *βούλησις ἀρκεῖ πρὸς τὸ μεταθεῖ-*
ναι[6] *δεσποτείαν. οἷον ἔχρησά σοι τὸ ἐμὸν βιβλίον ἢ ἐμίσθω-*
σάμινσώριονσοι τὸν ἐμὸν ἀγρὸν ἢ παρεθέμην σοι τὸ ἐμὸν[7].
ἐὰν μετὰ ταῦτα πωλήσω σοι ταῦτα ἢ[8] *καὶ δωρήσωμαι, εὐθέως*
ἅμα τῇ δωρεᾷ ἢ ἅμα τῇ πράσει δεσπότην σε ποιῶ τούτων καὶ
ταῦτα **traditíonos** *μὴ γενομένης. ἐπειδὴ γὰρ προϋπῆρχε φυ-*
σικὴ κατοχὴ παρά σοι τῶν εἰρημένων πραγμάτων, διὰ αὐτὸ τοῦτο
ὃ[9] *βούλομαι σὸν εἶναι τὸ ἐμὸν πρᾶγμα, εὐθέως περιγίνεταί*[10]
σοι ἡ δεσποτεία ὁμοίως[11] *ὥςπερ εἰ δωρεᾶς χάριν γέγονε ἰδικὴ*
traditíωn. **45.** *Ἀπεθέμην*[12] *ἐν ὡρείῳ φορτία διάφορα. διε-* 45.
λέχθης μοι ὥςτε ταῦτά σοι πωλῆσαι· συμφώνου γενομένου, δέ-
δωκας τὸ τίμημα. ἐὰν παρεστὼς τῷ ὡρείῳ τὰς τοῦ ὡρείου
παραδώσω[13] *σοι κλεῖς, εὐθέως δεσπότης γινῇ τῶν φορτίων.*
46. *Πολλάκις ἑκὼν μεταφέρω δεσποτείαν ἐπί τινα τῶν ἐμοὶ* 46.
ἀγνοουμένων περὶ οὗ ἐρωτηθεὶς καὶ πρὸ τῆς δόσεως[14] *καὶ*
μετὰ τὴν δόσιν, οὐ πάντως δύναμαι εἰπεῖν ποῖον τοῦτό ἐστι τὸ
πρόσωπον. τοῦτο δὲ συμβαίνει ἐπὶ τῶν **praetórωn** *καὶ τῶν*
ὑπάτων, οἵτινες εἰώθασιν ἢ ἐν ταῖς προελεύσεσιν[15] *ἢ ἐν ταῖς*

---

1) *ἀλλ' ἠρκ.* Vi. R. *ἀλλ' ἠρκ. δὲ* F¹. 2) *ἔσται* Vi. R. 3) *λαβόντα* Vi. R. 4) *γνώμῃ* Vi. R. 5) *δὲ ὅμως* M. Vi. F¹. R. 6) *τὴν* add. L⁶. Vi. R. 7) Ita legunt M. P. L⁶, Vi. F². (F¹. *μινσόρ.*) R. = L¹.: '*μινσῶριν*': L². '*μινσοῦριν*'. 8) d. M.: contra Vi. R. d. '*καὶ*'. 9) *αὐτῷ τούτῳ ᾧ* L⁶. 10) *παραγ.* Vi. R. 11) de. Vi. F¹. R. 12) *ἐπεθ.* Vi. R. 13) *—δῶ* Vi. R. *τούτου παραδ. σοι κλ.* L⁶. 14) *παραδόσεως. παράδοσιν* Vi. R. 15) Ita ex emend. F¹. et R.

autem emptoris fidem confisus sese pretium consecuturum, et
hoc casu dicimus statim rem in emptorem dominium transire.
42. 42. Nulla est differentia in traditione utrum ipse dominus
43. tradat an uoluntate eius alius. 43. Qua ratione si cui per-
mittam liberam negotiorum meorum administrationem, is si
quid rerum mearum uendat et tradat dominium in accipien-
44. tem transfert. uidetur enim uoluntate domini id facere. 44.
Licet aliquos casus inuenire, in quibus etiam citra traditio-
nem nuda tantum uoluntas sufficit ad dominium transferen-
dum. ut ecce commodaui tibi librum meum, aut locaui tibi
agrum meum, aut deposui apud te discum meum. Si postea
haec tibi uendam aut dono dem, statim ac uendidero seu
donauero dominum te constituam, nulla traditione secuta.
cum enim iam pridem eas res naturaliter detineres, eo ipso
quod tuas esse patiar, statim tibi dominium quaeritur, perinde
ac si donationis nomine specialiter fuisset traditio secuta.
45. 45. Deposui in horreo merces complures: persuasisti me ut
eas tibi uenderem: contractu perfecto pretium dedisti. si
horreo adstans claues horrei tibi tradam, statim mercium do-
46. minus fies. 46. Saepe sponte dominium in quendam mihi
ignotum transfero, de quo interrogatus et ante traditionem
et post traditionem nequeo prorsus dicere quaenam sit haec
persona. hoc contingit in praetoribus et consulibus qui so-
lent in processionibus et spectaculis quaedam in uulgus iac-

θέαις ῥίπτειν τινὰ τοῖς δημόταις, καὶ δεσπότης εὐθέως γίνεται
ὁ λαβών. καίτοι ὁ ταῦτα ἀφιεὶς ἀγνοεῖ τίς ὑποδέχεσθαι ἕκα-
στον τῶν ῥιπτομένων μέλλει.[1]) 47. *Ἐντεῦθεν δῆλον ὅτι ἐὰν* 47.
τοῦ ἐμοῦ καταφρονήσω πράγματος καὶ τοῦτο τῆς ἐμῆς ἀποβά-
λωμαι κατοχῆς, τοῦ καταλαμβάνοντος εὐθέως γίνεται ὅπερ λέ-
γουσιν οἱ παλαιοὶ proderélicton.[2]) Proderélicton *δέ ἐστιν*
ὅπερ ὁ δεσπότης ταύτην ἔχων τὴν διάνοιαν ἀπεβάλλετο[3]),
ὥςτε μὴ βούλεσθαι αὐτὸ τῆς οἰκείας ἔχειν περιουσίας· ἀμέλει
καὶ παύεται παραχρῆμα[4]) *τοῦ εἶναι δεσπότης.* 48. *Ἕτερον* 48.
δέ[5]) *ἐστιν ἐπὶ*[6]) *ἐκείνων τῶν πραγμάτων ἅτινα διὰ τὴν συμβᾶ-*
σαν ἐν τῇ θαλάττῃ ζάλην[7]), *κουφότερον οἱ πλέοντες βουλόμε-*
νοι ποιῆσαι τὸ ἐπικείμενον τῇ νηῒ βάρος, ἀπεβάλοντο· ταῦτα
γὰρ τὰ ἀποβληθέντα τῆς τῶν ἀποβαλόντων μένει δεσποτείας.
ὡμολόγηται[8]) *γὰρ τὴν τούτων ἀποβολὴν γενέσθαι οὐ διὰ τὸ*
μὴ βούλεσθαι ταῦτα τῆς ἑαυτῶν εἶναι δεσποτείας[9]) *τοὺς ἀπο-*
βάλλοντας, ἀλλὰ διὰ τὸ μᾶλλον ἐπιθυμεῖν μετ' αὐτῆς τῆς νεὼς
τὸν τῆς θαλάττης κίνδυνον ἀποφυγεῖν. ὅθεν εἴ τις τούτων τῶν
πραγμάτων ὑπὸ τῶν κυμάτων ἐκβρασθέντων ἢ καὶ φερομένων
ἐν τῷ ὕδατι δράξηται καὶ λογισμῷ κερδαίνοντος ἤτοι ἀποστε-
ροῦντος ταῦτα λάβῃ, κλοπὴν ἁμαρτάνεται. παραπλήσια δὲ τού-
τοις ἐστὶ κἀκεῖνα τὰ πράγματα. οἷον, ἠβουλόμην ἐγὼ[10]) *ἀπελ-*
θεῖν ἐπί τινα τόπον· εἶχες σὺ καροῦχαν[11]), *δι' ἧς ἠδυνάμην*
ἐγὼ τὴν ὁδὸν διανύσαι. ᾔτησά σε ὥςτε με ἐπικαθεσθῆναι
αὐτῇ καὶ τὰ[12]) *ἐμὰ ἐναποθέσθαι*[13]) *πράγματα ἐπὶ τὸ ἀφικέσθαι*
με εἰς ὃν ἐζήτουν τόπον. τοῦτό μοι ποιεῖν συνέθου[14]) *ἐπὶ μι-*
σθῷ ἢ καὶ δίχα μισθοῦ. ἀπεθέμην ἐν τῇ καρούχῃ τὰ ἐμὰ
πράγματα· ἐν τῷ μεταξὺ τῆς ὁδοῦ συνέβη τινὰ τῶν πραγμά-
των ἐκπεσεῖν τῆς καρούχης αὐτῆς, ἀγνοοῦντος ἐμοῦ. οὐκ

---

1) post uoc. '*τίς*' colloc. Vi. F. *ὑποδέχεται* om. '*μέλλει*' L^6. 2) Ita M. *προδερέλικτον* L^6. Vi. R. pro derelicto F. 3) ita M.: cet. '*ἀποβάλλεται*'. 4) *ἀμ. παραχρ. παυ.* Vi. R. 5) Ita M. d. L^1.: *τι* L^2. F. Vi. R. 6) addidi cum M. Vi. R. 7) Ita M. L^6. Vi. R.: L^1. L^2. F. *ἅλμην*. 8) *ὁμολογεῖται* L^1. L^2. 9) *δεσπ. εἶν.* Vi. R. 10) de. Vi. R. 11) ita libri: Vi. R. —*καν*. 12) de. L^1. L^2. F. 13) *ἀποθ.* Vi. R. 14) ita M.: cet. '*ὑπέσχου*'.

tare: quorum dominus statim qui accipit fit: licet qui iactat
47. ignorat quid missilium quisque excepturus sit. 47. Qua ratione manifestum est si meam rem fastidio habuerim eamque abiecerim, occupantis statim fieri; nam, ut aiunt ueteres, pro derelicto est. pro derelicto est autem quod dominus ea mente abiecerit ut id rerum suarum amplius esse nolit: ideoque statim dominus esse desinit. Alia causa est earum rerum, quas, propter maris tempestatem exortam nautae leuandae nauis causa eiecerunt. hae enim quamuis eiectae eorum permanent qui abiecerunt; quia palam est eas non ideo eici, quod nolint, qui eiciunt, eas habere, set potius quo magis cum ipsa naui maris periculum effugiant. qua de causa si quis harum rerum fluctibus expulsarum seu etiam in mari fluctuantium potiatur et animo lucrandi, i. e. auferendi eas capiat, furtum committit. id genus aliae quoque res sunt: ut ecce: cum aliquo proficisci molirer, tu rhedam habebas, qua iter facere poteram. petii a te ut memet in ea considere measque res imponere permitteres, ut in eum locum, quo tenderem, peruenire possem. id facere consensisti; mercede pacta uel etiam sine mercede. medio itinere quaedam

ἔσται ταῦτα τῶν εὑρισκόντων, ἀλλά πεφύλακται τῇ ἐμῇ δεσποτείᾳ. δίδοταί γάρ μοι ἐπ' αὐτοῖς **in rem ad exhibendum furti fúrtiuos condictícios.**[1])

De rebus incorporalibus.[2]) Titulus 2.

Εἰρήκαμεν ἐν τοῖς προλαβοῦσιν περὶ τῆς τῶν πραγμάτων διαιρέσεως, ὅτι τινὰ μέν ἐστι **naturália** ἤτοι **iurisgéntia**, τινὰ **publica**, τινὰ τῆς ὁμάδος, τινὰ ἀδέσποτα, τὰ δὲ λοιπὰ[3]) τῶν καθέκαστον. καὶ εἰρήκαμεν ὅτι πολλοῖς τρόποις τῆς ἡμετέρας γίνεται δεσποτείας τὰ πράγματα. καὶ φυσικοὺς εἴπαμεν[4]) τρόπους τούτους· τὴν θήραν τὴν λάφυραν τὰς[5]) ἐν αἰγιαλῷ εὑρισκομένας λίθους ἤτοι ψηφίδας καὶ τὰ ἐκ τῶν ἡμετέρων τικτόμενα ζώων καὶ **alluuíona** καὶ νῆσον ἢ ἐν θαλάσσῃ, ὅπερ σπάνιον, ἢ ἐν ποταμῷ, ὅπερ συνεχὲς, ἀναφυομένην[6]), ἔτι δὲ καὶ τὸ γειτνιάζειν τῇ τοῦ ποταμοῦ καταλειφθείσῃ νηδύϊ[7]) καὶ τὸ ἐξ ἀλλοτρίων ὑλῶν εἶδος κατασκευάσαι, ὡς μὴ δύνασθαι τὸ κατασκευασθὲν εἰς τὴν ἀρχαίαν ἀνατρέχειν ὕλην ἢ[8]) τὸ ἐξ ἰδίας καὶ ἀλλοτρίας ὕλης κατασκευάσαι ἢ καὶ[9]) τὸ ἀλλοτρίαν πορφύραν συνυφάναι τῇ οἰκείᾳ ἐσθῆτι. καὶ τὸ δύο τινῶν ὕλας τὰς αὐτὰς ἢ καὶ διαφόρους γνώμῃ τῶν δεσποτῶν ἢ καὶ τυχηρῶς μιγῆναι ἢ καὶ διαφόρων δεσποτῶν σωροὺς σίτου γνώμῃ αὐτῶν μιγῆναι, οὐκέτι δὲ εἰ βουλήσει τοῦ ἑνὸς ἢ καὶ τύχῃ τοῦτο συνέβη. καὶ ὁ κανὼν ὁ λέγων εἴκειν τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις ὡς ἐν πολλοῖς ἐθεωρήθη θέμασιν. οἷον ἡνίκα ἐξ ἀλλο-

---

1) τουτέστι ἐκδικήσεως ἀγωγὴ ἢ ἐκνίκησις κατὰ τῶν κλεπτῶν add. L[6]. et ed. ante F. 2) περὶ πραγμάτων ἀσωμάτων L[1]. L[2]. F. 'σωματικῶν καὶ ἀσωμάτων' R. 3) ita M., qui add. ὄντα: cet. πλείονα. 4) —πομεν Vi R. 5) Ita M.: cet.: 'τοὺς'. 6) post uoc. 'σπάνιον' ins. Vi. R. 7) ἤτοι κοίτῃ add. Vi. 8) καὶ Vi. R. 9) d. Vi. R.

res rheda excidere contigit, me non intellegente. non fient hae eorum, qui inuenient, set in meo dominio mansunt. datur autem mihi rei uindicatio actio ad exhibendum actio furti condictio furtiua.

De rebus incorporalibus. Titulus 2.

minus ualidam habebit pupillus contra debitorem actionem: si uero ea experiatur et debitum petat, exceptione doli mali repelletur. si uero ea accipiens libidinosius consumpserit uel certe inutiliter uel furto amiserit, debitum rursus a debitore petiet, nulla summouendus exceptione: condemnabitur enim omnimodo debitor cum temere sine tutoris auctoritate nec secundum constitutionis principis nostri tenorem solutionem fecerit. pupilli sine tutoris auctoritate soluere nequeunt, non enim transferunt in accipientem proprietatem, cum ipsi nullam habeant facultatem res suas sine tutoris auctoritate alienandi. quid ergo fiet, si modo soluerint neque liberati fuerint, quippe qui accipientem nummorum dominum facere non potuerint? et dicimus, extantibus quidem nummis, actionem in rem habere, latentibus autem seu bona fide consumptis, actione ad exhibendum experiri posse. sin autem bona fide sunt consumpti, creditor enim putans eos puberes esse eosdem consumpsit, uindicari non possunt, cum non extent, et actio quoque ad exhibendum cessat, cum nec male consumpti sint neque lateant nummi; tunc ex euentu debito liberabitur pupillus et quod non effecerit sine tutoris auctoritate facta solutio, id bona fide consumptio adimplebit.

Per quas personas nobis adquiritur. Titulus 9.

Omnia quae diximus, siue in rebus siue in actionibus consistant, adquiruntur nobis non solum per nosmet ipsos,

οὓς ἔχομεν in potestate, *καὶ δι' ἀλλοτρίων οἰκετῶν, ἐφ' οἷς ἔχομεν* usúfructon, *καὶ δι' ἐλευθέρων προσώπων καὶ οἰκετῶν ἀλλοτρίων, οὓς* bona fide *νεμόμεθα νομίζοντες ἡμετέρους εἶναι οἰκέτας. περὶ δὲ ἑνὸς ἑκάστου ἐπιμελέστερον σκοπήσωμεν.* 1. 1.

Κατὰ πρώτην τάξιν προςπορίζουσιν ἡμῖν οἱ ἡμέτεροι παῖδες οἱ in potestate *τοῦτο μὲν ἄρρενες τοῦτο δὲ*[1]) *θήλειαι. ἀλλὰ πάλαι μὲν τὸ ὁθενδήποτε εἰς αὐτοὺς περιελθὸν προςεπόριζον ἡμῖν τοῖς ἔχουσιν αὐτοὺς ὑπεξουσίους, ἐξῃρημένων τῶν* canstrensíων pecuλίων, *καὶ οὕτως ἐγίνετο ταῦτα τῶν γονέων τὰ ὑπὸ τῶν παίδων προςπορισθέντα, ὥςτε αὐτοῖς πᾶσαν ἐξουσίαν προσιέναι*[2]) *τὸ ὑφ' ἑνὸς υἱοῦ ἢ ὑπὸ μιᾶς θυγατρὸς προςπορισθὲν ἑτέρῳ παιδὶ ἢ ἐξωτικῷ δωρήσασθαι ἢ πωλῆσαι ἢ οἱῳδήποτε τρόπῳ μεταγαγεῖν. ὅπερ ἀπάνθρωπον εἶναι δόξαν τῷ εὐσεβεστάτῳ βασιλεῖ ἡμῶν γενικῇ διατάξει τὴν προσήκουσαν ἐδέξατο θεραπείαν, δι' ἧς καὶ τῶν παίδων ἐφείσατο καὶ τοῖς πατράσι τὸ ἐποφειλόμενον ἐφύλαξεν.*[a]) *ἐκέλευσε γὰρ εἰ μὲν ἐκ τῆς περιουσίας τοῦ πατρὸς προςγένηταί τι τῷ ὑπεξουσίῳ, οἷον τοῦ πατρὸς τυχὸν δωρησαμένου ἢ ἑτέρως ὁπωςδήποτε εἰς αὐτὸν μεταθέντος, ὥςτε*[3]) *τοῦτο κατὰ τὸ ἐξ ἀρχῆς κρατοῦν*[4]) *ὅλον προςπορίζεσθαι τῷ πατρί. οὐδεὶς γάρ ἐστι φθόνος, ὅπερ ἐκ τῆς*[5]) *τοῦ πατρὸς προφάσεως ἦλθεν εἰς αὐτόν, τοῦτο παλινδραμεῖν*[6]) *ἐπὶ τὸν πατέρα, ὅπερ δὲ ἐξ ἄλλης αἰτίας ὁ ὑπεξούσιος ἐκτήσατο, τούτου τὸν μὲν* usúfructon *προςπορίζεσθαι τῷ πατρί, τὴν δὲ δεσποτείας, μένειν*[7]) *παρὰ τῷ παιδί. ἄδικον γὰρ τὸ*[8]) *πολλοῖς καμάτοις*[9]) *ἢ δεξιότητι τύχης τινὶ*[10]) *προςγενόμενον ἑτέρῳ*[11]) *τοῦτο παρασχεῖν καὶ ὀδυρμῶν αἴτιον γενέσθαι τῷ τὴν ἀρχὴν κτησαμένῳ. λυπεῖ γάρ τινα οὐχ οὕτω τὸ μὴ κτηθέν, ὡς τὸ μετὰ τὴν κτῆσιν ἀφαιρηθέν.*[12]) 2. *Ἐπειδὴ*[13]) *δὲ καὶ* 2.
πρὸ τῆς τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως διατάξεως ἥν τινα

---

1) *καὶ* ad. L1. L2. F. 2) *—εἶναι* L6. Vi. F1. R. 3) *ὡς* Π. 4) d. M. '*κρατῆσαν ἔθος*' Π. 5) d. F. L1. L2. set. hab. M. Π. 6) *—δρομεῖν* Π. L6. 7) *ἡ δὲ δεσπ. μενέτω* L6. Vi. F1. R. 8) *τοῖς* L1. L2. F. 9) *ἐκ πολλῶν καμάτων ἢ δεξιότητος* Π. 10) d. Π. 11) *—ροις* Π. 12) *—θῆναι.* F 13) *ἐπεὶ* Vi. R.

a) Cf. tractatus de Peculiis c. 6. (Heimb. *Ἀν.* II 255 sq.)

set etiam per eos, quos in potestate habemus et per alienos seruos, in quibus usumfructum habemus et per liberas personas et per alienos seruos, quos bona fide possidemus, nostros esse seruos eos existimantes. de quibus singulis diligentius
1. dispiciamus. 1. Et in primis adquirunt nobis liberi nostri, qui in potestate nostra sunt, tam masculi quam feminae. set olim quidem quidquid ad eos peruenerat nobis, quorum iuri erant subiecti, adquirebant (exceptis castrensibus peculiis): et ita parentium fiebant, quae a liberis adquirerentur, ut esset eis licentia quod per unum filium uel unam filiam esset quaesitum, alii liberorum uel extraneo donare uel uendere uel quomodocumque transferre. quod cum inhumanum esse piissimo nostro principi uideretur, generali constitutione competens adhibuit remedium, per quod et liberis pepercit et patribus debitum reseruauit. iussit enim si quid ex re patris ei obueniat, qui sit in potestate, ueluti patre donante seu alio quolibet modo in eum transferente, id secundum antiquam obseruationem totum parenti adquiri; (nulla enim inuidia est, si quod ex patris occasione profectum sit, id simili modo ad patrem reuertatur): quod autem alia ex causa filiusfamilias sit adeptus, eius quidem usumfructum patri quaeri, dominium autem apud filium manere. iniquum est enim quod plurimis laboribus uel prospera fortuna alicui adcessit id alii cuidam praestare et luctuosum ei procedere, qui ab initio nactus est. non adeo enim quis contristatur cum nihil adquisierit, quam
2. cum id quod sit adeptus amiserit. 2. Cum et ante piissimi imperatoris nostri constitutionem quaedam essent quae patris

μὴ προςποριζόμενα τῷ πατρὶ οἷον τὰ μητρῷα[1]) *καὶ τὰ ἀπὸ γάμων κερδαινόμενα. ἦν δὲ καὶ διάταξις λέγουσα ἐξεῖναι τῷ πατρὶ* emancípaton *ποιοῦντι τὸν παῖδα τὸ τρίτον μέρος τῶν ἀπροςπορίστων πραγμάτων παρακατέχειν*[2]) *λόγῳ δεσποτείας, ὡσανεὶ τίμημα λαμβάνοντι*[3]) *τῆς* emancipatíonos. *καὶ συνέβαινέ τι ἀπάνθρωπον, ὅτι ἡ* emancipatíωn *ἡ διὰ τιμὴν τῷ ὑπεξουσίῳ παρεχομένη*[4]), *καθὸ αὐτεξούσιον αὐτὸν ἀποτελεῖ*[5]) *εἰς ζημίαν αὐτοῦ περιετρέπετο, τῶν γὰρ οἰκείων ἐστερεῖτο πραγμάτων, τῆς οὐσίας αὐτοῦ μειουμένης. ὅθεν διετύπωσεν ὁ εὐσεβέστατος ἡμῶν βασιλεὺς μηκέτι τὸ τρίτον τῆς δεσποτείας τῶν τοῦ παιδὸς ἀπροςπορίστων πραγμάτων τὸν πατέρα παρακατέχειν ἀλλὰ τοῦ ἡμίσεως μέρους τὸν* usúfructon. *τούτῳ γὰρ τῷ τρόπῳ καὶ ἀμείωτος ἡ τοῦ παιδὸς μένει περιουσία*[6]) *παρὰ τῷ παιδὶ καὶ τοῦ ἡμίσεως μέρους τὸν* usúfructon *λαμβάνων ὁ πατὴρ ὀνόματι μείζονος*[7]) *μέρους χαίρει τιμηθείς· ἀντὶ γὰρ τρίτου τὸ ἥμισυ λαμβάνει.* 3. *Οὐ μόνον δὲ*[8]) *ὑπεξούσιοι* 3. *παῖδες ἡμῖν προςπορίζουσιν, ἀλλὰ γὰρ*[9]) *καὶ οἱ ἡμέτεροι οἰκέται, εἴτε κατὰ* traditíona *λάβωσί τι, εἴτε ἐπερωτήσωσιν, ἢ ἐξ ἑτέρας οἱαςδήποτε κτήσωνται αἰτίας. τοῦτο γὰρ καὶ ἀγνοοῦσι καὶ*[10]) *τὸ μεῖζον καὶ*[11]) *μὴ βουλομένοις προςπορίζεται τοῖς δεσπόταις· ὁ γὰρ οἰκέτης οἷα ὑπεξούσιος ὢν οὐδὲν ἴδιον ἔχειν δύναται. ὑπέξελε*[12]) *τὴν κληρονομίαν. εἰ γὰρ ὁ ἐμὸς οἰκέτης ὑπό τινος γραφῇ κληρονόμος, οὐχ ἑτέρως ταύτην κτᾶσθαι δύναται, εἰ μὴ κατὰ κέλευσιν ἡμῶν*[13]) aditeúsῃ,[a]) *ἐπειδὴ γὰρ*[14]) *ἐνδέχεται μείζονα εἶναι τῶν ἐν ὄψει*[15]) *κερδῶν τὰ λανθάνοντα βάρη.*[16]) *ἄτοπον δὲ*[17]) *ἦν ἀγνοοῦντας ἡμᾶς ἤγουν καὶ ἄκοντας ἐπιζήμιον ὑπεισιέναι κληρονομίαν. διὰ τοῦτο ἐπὶ τῆς κτήσεως*

---

1) *ματρῷα* Vi. R. 2) *κατέχ.* Vi. R. 3) scripsi L6. qui habet *λαβόντι*: cet. —*οντα.* 4) *διδομένη τῷ ὑπ.* Vi. F. 5) *ποιεῖ* Vi. R. 6) *περ. μέν.* Vi. F. R. 7) Ita sane cum L1. L2. L6. et F2.: —*ζονι μέρους* M.: —*ζονος* F1.: —*ζονι* om. subst. Vi. R. 8) *οἱ* ad. Vi. R. 9) d. Vi. R. 10) *κατὰ* M. m. 1 a. *ὅτι καὶ* Vi. R. *ὅ, τι* G. 11) d. Vi. R. 12) *ἔξ.* Vi. R. 13) M.: cet. *ἐμὴν.* 14) d. Vi. R. 15) *φερομένων* ad. Epi. 16) *καὶ μὴ φαινόμενα* Vi. R.: *ταύτην παραιτεῖσθαι* ad. L6. 17) *γὰρ* L6.

a) Cf. Epi. schol. 2 ad. 33; 46.

adquisitionem effugerent, ut ecce bona materna et lucra nuptialia, lata est constitutio ex qua licebat patri, qui filium emancipasset, tertiam partem bonorum non quaesitorum proprietatis nomine retinere, quasi pro emancipationis pretio. et inhumanum quid accidebat ut emancipatio quae filio honoris causa tribuebatur, utpote quae eum sui iuris faceret, in in eius perniciem conuerteretur; rebus enim suis defraudabatur, cum eius patrimonium minueretur. igitur sanxit piissimus princeps noster deinceps non tertiae partis dominium rerum filii sibi non quaesitarum patrem retinere, set dimidiae partis usumfructum. ita enim et imminuta filii bona manent apud filium et dimidiae partis usumfructum pater consecutus parte maiore honoratus gaudebit; pro tertia enim dimidiam
3. accipiet partem. 3. Nec tantum liberi in potestate nobis adquirunt set etiam serui nostri, siue ex traditione quid nanciscantur, siue stipulentur siue ex alia qualibet causa adquirant. id enim et ignorantibus, immo et inuitis dominis obuenit: seruus enim utpote qui alieni iuris sit nihil proprium habere potest. excipe hereditatem: si enim seruus meus heres ab aliquo institutus sit, non aliter id adquirere potest, quam si iussu meo adeat; fieri enim potest ut latentia onera apparentibus lucris sint grauiora. absurdum autem esset nos ignorantes seu etiam inuitos damnosam adquirere hereditatem. ideoque in eiusmodi adquisitione iussum domini

αὐτῆς ἀναγκαῖόν ἐστι τὴν τοῦ δεσπότου προηγεῖσθαι κέλευσιν. καὶ ἐὰν ὁ ἐμὸς οἰκέτης κατὰ γνώμην ἐμὴν aditeúsῃ, οὕτω γενήσομαι κληρονόμος ὥςπερ εἰ[1]) ἐγὼ αὐτὸς ἐγράφην κληρονόμος. ἀκολούθως δὲ τοῖς ἄνω[2]) εἰρημένοις καὶ τὰ καταλειφθέντα τοῖς δούλοις ληγάτα προςπορίζεται ἡμῖν. οὐ μόνον δὲ δεσποτεία διὰ τῶν in potestate προςπορίζεται ἡμῖν, ἀλλὰ καὶ νομή. εἰ γάρ τις τὸ μὴ οἰκεῖον πρᾶγμα τῷ ἐμῷ ὑπεξουσίῳ παραδῷ ἢ κινητὸν ἢ ἀκίνητον bona fide δεχομένῳ, διὰ τῆς αὐτοῦ κατοχῆς γενήσομαι τούτου δεσπότης διὰ τῆς usucapíonos ἢ διὰ τῆς τοῦ μακροῦ χρόνου νομῆς. 4. Ταῦτα μὲν περὶ τῶν ἡμετέρων οἰκετῶν. προςπορίζουσι δὲ ἡμῖν καθὰ εἴρηται καὶ ἀλλότριοι οἰκέται, ἐφ' οἷς ἔχομεν usúfructon, ἀλλ' οὐκ ἐκ πάσης αἰτίας, ἀλλὰ ἐκ δύο τούτων ex re mea uel[3]) ex operis suis. ex re mea ἐστὶν οἷον[4]) ἡνίκα φροντίδας αὐτῷ τῶν ἐμῶν κτημάτων κατεπίστευσα ἢ ἐπέτρεψα αὐτῷ τὰ ἐμὰ δανείζειν[5]) πράγματα καὶ ἐποίησα αὐτὸν τὸν λεγόμενον dispensátora. ἠδυνήθη δὲ ὁ τοιοῦτος[6]) ἐξ οἰκείας περινοίας ἢ ἐκ τῶν γεωργιῶν ἢ ἐκ τῶν δανειζομένων ἔξωθέν τι μὴ ἀπομειῶν τὸ ἡμῖν ἐποφειλόμενον[7]) κερδάναι· τοῦτο λέγεται ex re mea καὶ προςπορισθήσεταί μοι. ex operis δὲ suis, οἷον[8]) ῥάπτης ἢν ἢ ζωγράφος· ἐμίσθωσα αὐτὸν ἐγὼ ἐπὶ τὸ ἑτέροις ἐργάζεσθαι καὶ μισθὸν ὡρισμένον ὑπὲρ τῆς αὐτοῦ τέχνης λαμβάνειν.[9]) οὗτος ὑπὲρ τοὺς ὁρισθέντας μισθοὺς ἠδυνήθη λαβεῖν τι καὶ τὸ ἐντεῦθεν κτηθὲν ἐμοὶ προςπορίζει· τοῦτό ἐστι ex operis suis. εἰ δέ τι παρὰ τὰς δύο ταύτας αἰτίας ἐκτήσατο, τοῦτο πρὸς τὸν proprietárion ἀνήκει. ὥςτε οὖν εἴτε κληρονόμος ἐγράφη εἴτε[10]) ληγατάριος καὶ ληγάτου ἔτυχεν ἢ παρά τινος ἐδέξατο δωρεάν, οὐ τῷ usufructuaríῳ ἀλλὰ τῷ proprietaríῳ ταῦτα[11]) προςπορίζει. τὰ εἰρημένα ἐπὶ τοῦ[12]) οἰκέτου, καθ' οὗ ἔχω τὸν usúfructon, τὰ αὐτὰ ἤρεσε καὶ ἐπὶ ἐκείνοι, ὃν bona fide νέμομαι,

---

1) καὶ ad. L1. F. 2) —θεν L1. 3) d. Vi.: ual M. 4) d. L6. Vi. R. 5) ἐκδαν. L6. Vi. R. 6) M.: cet. οὗτος. 7) τι τῶν ἡμ. ἐποφ. Vi. R. 8) εἰ ad. M. 9) M. (at prius eadem manu —ων) Vi. R.: —ων L1. F.: —βεῖν L6. 10) ἢ καὶ Vi. R. 11) τοῦτο Vi. R. 12) d. Vi. R.

praecedere necesse est. et si seruus meus iussu meo adeat perinde dominus fiam ac si ipse institutus sim. et conuenienter his quae superius proposuimus etiam legata seruis relicta nobis quaeruntur. non solum autem proprietas per eos, quos in potestate habemus, nobis adquiritur, set etiam possessio. si quis enim rem non suam ei tradiderit, qui in mea potestate est, seu mobilem seu soli bona fide accipienti, per eiusdem possessionem dominus fiam, usucapione scilicet
4. seu longi temporis possessione accedente. 4. Haec quidem de nostris seruis. adquirunt autem nobis, ut dictum est, et serui alieni, in quibus usumfructum habemus; non tamen ex omni causa, set ex duobus his tantum, nempe ex re mea uel ex operis suis. *ex re mea* fit, quotiens curam praediorum meorum ei credidi, uel concessi ei, ut pecunias meas feneraretur, et constitui eum, quem uocant, dispensatorem. hic enim potuit ingenio suo uel agri cultura, uel ex mutuis aliquid adquirere sine eorum diminutione quae mihi debentur; id dicitur *ex re mea* profectum et mihi quaeritur. *ex operis autem suis*, ut ecce si sarcinator fuerit uel architectus uel pictor: locaui eum ego ut extraneis operam suam praestaret, certamque mercedem pro arte sua acciperet. hic potuit et praeter constitutas mercedes aliquid adipisci et quod inde partum est mihi adquirit. hoc est quod dicitur *ex operis suis* profectum. quod uero extra hasce duas causas persecutus est, id ad dominum spectat proprietatis. itaque si heres institutus sit uel legatarius et legatum sit adeptus, uel ab aliquo donationem acceperit, non usufructuario set domino proprietatis ea adquirit. quae de seruo dicta sunt, in quo usumfructum habeo, eadem placuit et in eo optinere,

εἴτε ἐλεύθερός ἐστιν εἴτε ἀλλότριος οἰκέτης. καὶ γὰρ καὶ αὐτοὶ ἐκ τῶν δύο αἰτιῶν ἡμῖν προςπορίζουσι, τουτέστιν **ex re nostra**[1]) **uel ex operis suis.** *εἰ δέ τι παρὰ τὰς δύο ταύτας αἰτίας κτήσωνται, εἰ μὲν ἐκτήσατο ὁ ἐλεύθερος ὃν* bona fide *νέμομαι, ὁ νόμος αὐτῷ φυλάττει ὀφείλων ἀποσῶσαι*[2]) *κατ' ἐκεῖνον καιρὸν, ἐπειδὰν ἐπιγνῷ τὴν οἰκείαν τύχην, εἰ δὲ οἰκέτης ἐστὶν ὁ*[3]) bona fide *κατεχόμενος ὑπ' ἐμοῦ, τῷ ἀληθεῖ δεσπότῃ προςπορίζεται δίχα τῶν δύο αἰτιῶν τὰ ὑπὸ τοῦ οἰκέτου κτηθέντα. ὁ δὲ* bona fide *νεμόμενος τὸν ἀλλότριον οἰκέτην ἐπὶ τοσοῦτον ἐκ τῶν*[4]) *δύο μόνων*[5]) *αἰτιῶν ἀπολαύει τοῦ προςπορισμοῦ, ἐφ' ὅσον μὴ παρέδραμε τριετία· ταύτης δὲ παρελθούσης,* usucapiteúei *λοιπὸν τὸν οἰκέτην καὶ τὰ ἐκ πάσης αἰτίας προςγενόμενα τῷ οἰκέτῃ προςπορισθήσεται αὐτῷ.*[a]) *ὁ γὰρ τὸν ἐλεύθερον* bona fide *νεμόμενος οὐκ* usucapiteúei, *ὡς εἴρηται· καὶ ὁ* usúfructon *δὲ ἔχων* usucapiteúein *οὐδέποτε δύναται· πρῶτον μὲν ἐπειδὴ οὐ νέμεται· νομῆς γὰρ μὴ ὑποκειμένης, οὐ προσάγεται*[6]) usucapíωn. *νομὴ δέ ἐστι τὸ ψυχῇ δεσπόζοντος νέμεσθαι· οὗτος δὲ μόνον*[7]) *ἔχει δίκαιον τοῦ κεχρῆσθαι καὶ καρποῦσθαι. εἰ δὲ καί τις μὴ νομικαῖς ἐννοίαις ἀκολουθῶν, ἀλλὰ τῷ ὁρωμένῳ δουλεύων εἴπῃ τὸν* usufructuárion *νέμεσθαι, ἑτέρῳ μείζονι λόγῳ*[8]) usucapíωn *ἐπισχεθήσεται διὰ τὸ* mala fide *νέμεσθαι τὸν* usufructuárion· *οἶδε γὰρ ὅτι ἀλλότριός*[9]) *ἐστιν. οὐ μόνον δὲ δεσποτεία διὰ τούτων τῶν οἰκετῶν, ἐφ' οἷς ἔχομεν*[10]) *τὸν* usúfructon *ἢ οὓς* bona fide *νεμόμεθα, ἢ διὰ τοῦ ἐλευθέρου ὃν καλῇ νέμομαι πίστει ἐμὸν ὑποπτεύων οἰκέτην εἶναι, ἀλλὰ γὰρ καὶ νομὴ ἡμῖν προςπορίζεται, δηλαδὴ κατὰ τὰ ἔναγχος εἰρημένα, τουτέστιν ἐκ τῶν δύο αἰτιῶν*[11]) ex re mea uel ex operis suis. *ἐὰν γὰρ ἀλλότριον*[12]) *πρᾶγμα ἐκ τῶν δύο αἰτιῶν λάβωσι παρὰ τοῦ μὴ δεσπόζοντος, δι' ὧν χρόνων αὐτοὶ κατέχουσιν, ἡ* usucapíωn[13]) *ἐμοὶ δραμεῖ-*

---

1) mea Vi. R. 2) conicarem: *ὀφείλον ἀποσωθῆναι.* 2) d. Vi. R. 3) addidi cum Vi. F. 4) M.: cet. *—ον.* 5) *προάγ.* Vi. R. 6) d. L1. L2. L6. Vi. R. 7) *ἡ* ad. Vi R. 8) *—τριον* L1. L6. F. 9) *—ομαι* Vi. 10) *ἐκ τ. δ. αἰ.* de. Vi. R. 11) *ἄλλο τι* L1. F. 12) *προβήσεται ἤγουν* ad. Vi. R.

a) Cf. Epi. 6, 15.

quem bona fide possideo, siue liber sit siue alienus seruus. nam et ipsi ex isdem duabus causis nobis adquirunt, scilicet *ex re nostra uel ex operis suis*. quidquid autem extra hasce duas causas sint persecuti, si quidem liber homo, quem bona fide possideo, id iure ei quaeritur, set in illud tempus reseruatur, quo statum suum nouerit; sin autem seruus alienus sit, quem ego bona fide possideam, uero ei domino adquiritur, quod seruo obuenit extra duas causas. qui bona fide seruum alienum possidet eo usque ex praedictis causis tantum adquisitionibus fruitur donec triennium praeterierit. hoc enim elapso, seruum ipsum usucapit et quae ex qualibet causa seruo obueniant ei quaeruntur. qui autem liberum hominem bona fide possideat non usucapit, ut dictum est. et qui usumfructum habet, usucapere non potest: primum quia non possidet; sine uero possessione non procedit usucapio: tunc enim quis intellegitur possidere cum animo dominantis rem teneat: usufructuarius autem ius tantum utendi fruendique habet. si tamen quis iuris notiones non secutus set specie deceptus dicat usufructuarium quoque possidere, alia potiore ratione usucapio impedietur, eo quod nempe mala fide usufructuarius possideat, nouit enim hominem esse alienum. nec solum proprietas per hos seruos, in quibus usumfructum habeo uel quos bona fide possideo, uel per liberum hominem, quem bona fide possideo, putans meum esse seruum, set etiam possessio nobis adquiritur, scilicet secundum quae nuper proposuimus ex duabus tantum causis, *ex re mea* uel *ex operis suis*. si enim rem alienam ex duabus hisce causis ab eo accipiant qui non est dominus,
5. per id temporis, quo rem detinent, usucapio procedet. 5. Ex

ται. 5. Ἐκ τῶν ἐφῃμένων οὖν φαίνεται, ὅτι δι' ἐλευθέρων 5. προσώπων, ἅτινα οὐκ ἔστιν ἡμῖν ὑπεξούσια οὐδὲ bona fide δουλεύει ἡμῖν, ὁμοίως καὶ διὰ τῶν ἀλλοτρίων οἰκετῶν, ἐφ' οἷς οὐδὲ usúfructon οὐδὲ bona fide ἔχομεν νομὴν, ἐξ οὐδεμίας αἰτίας προςπορίζεσθαι[1]) ἡμῖν τι δύναται καὶ τοῦτό ἐστι τὸ παρὰ πᾶσι λεγόμενον »δι' ἐξωτικοῦ προσώπου μηδὲν προςπορίζεσθαι δύνασθαι« ἐξῃρημένου τοῦ λεχθησομένου θέματος. ἐὰν γὰρ πωλήσῃ τις ἐμοὶ κτῆσιν ἐν ἑτέρῳ διακειμένην[2]) τόπῳ, εἶτα οὐ δυνηθεὶς τοῖς τόποις ἐκείνοις ἐπιστῆναι πέμψω τὸν ἐμὸν procurátora καὶ τὴν νομὴν οὗτος παραλάβῃ, τῶν κτημάτων προςπορισθήσεταί μοι δι' αὐτοῦ ἡ νομή. καὶ οὐ μόνον εἰ γινωσκόντων ἡμῶν τοῦτο συνέβη ἀλλὰ καὶ εἰ ἀγνοούντων[3]) ἐδόθη τι αὐτοῖς ἡμετέρῳ ὀνόματι, ἡ νομὴ ἡμῖν προςπορίζεται, ὡς βούλεται[4]) διάταξις Σεβήρου τοῦ βασιλέως.[5]) λοιπὸν δὲ τῆς νομῆς ἡμῖν προςπορισθείσης, σιωπηρῶς ἕπεται ἡ δεσποτεία ἐν ᾧ δεσπότης ἦν ὁ παραδούς.[6]) εἰ δὲ οὐκ ἦν δεσπότης διὰ usucapíonos ἢ μακροῦ χρόνου παραδρομῆς τοῦ traditeuθέντος κτῶμαι τὴν δεσποτείαν. 6. Ἀρκεῖ μέχρι τοσούτου διεξελθεῖν τίνα τρόπον, 6. τὰ καθ' ἕκαστον ἡμῖν προςπορίζεται πράγματα. ἔστι δὲ καὶ ἕτερος κτήσεως τρόπος,[7]) ὁ διὰ τοῦ ληγάτου, δι' οὗ τὰ καθ' ἕκαστον ἡμῖν προςγίνεται[8]) πράγματα, ἔτι δὲ καὶ ὁ τῶν fideicommíssων, δι' ὧν καὶ αὐτῶν ἰδικὰ[9]) πράγματα δύναται ἡμῖν καταλιμπάνεσθαι.[10]) ταῦτα δὲ[11]) ἐπιτηδειότερον ἐν τοῖς κατωτέροις[12]) λεχθήσεται τόποις. ὥςτε οὖν ἢ φυσικαὶ κτήσεις[13]) εἰσιν ἢ ἔννομοι. καὶ φυσικαὶ μὲν δεκατέσσαρες, οἷον· α̅·[14]) θήρα· β̅· τὰ λάφυρα· καὶ γ̅· οἱ ἐν αἰγιαλῷ εὑρισκόμενοι λίθοι ἤτοι τίμιαι ψηφῖδες· καὶ δ̅· ἡ ἐκ τῶν ἡμετέρων ζώων γονή· ε̅· alluuíων· ς̅· ἡ νῆσος ἡ ἐν θαλάσσῃ ἢ ἐν ποτάμῳ ἀναφυομένη ἢ ζ̅· τὸ πλησίον κεκτῆσθαι τῆς ὑπὸ τοῦ ποταμοῦ κατα-

1) h. l. αἰτίας Vi. R. 2) κτῆμα . . . είμενον L6. 3) εἰ ad. Vi. 4) ἡ om. M. L6., ad. cet. 5) τοῦ β. Σ. Vi. R. 6) —διδούς Vi. R. 7) M.: νόμιμος τρόπ. κτ. Vi. R. τρ. νόμ. κτ. L1. L6. F. 8) προςπορίζεται Vi. R. 9) δι' ὧν αὐτ. καὶ ἰδ. ἡμῖν πρ. δ. κ. L1. L6. F2. δι' ὧν κ. αὐτ. ἰδ. ἡμ. Vi. F1. R.: dedi ex M. 10) —νειν M. 11) d. L1. F. 12) —ρω M. 13) αἱ φ. κτ. M. φ. αἱ κτ. id. m. 2a. 14) ἡ ad. Vi. F. R.: numeros ex M. addidi.

his itaque apparet per liberos homines, qui nostro iuri subiecti non sunt neque bona fide nobis seruiunt, item per alienos seruos, in quibus neque usumfructum neque bonae fidei possessionem habemus, nulla ex causa nobis adquiri posse. et hoc est quod uulgo dicitur per extraneam personam nihil adquiri posse: excepto casu quem nunc proponemus. si uendiderit quis mihi praedium alia regione positum, deinde cum illuc peruenire non possim, procuratorem meum miserim, qui possessionem praediorum suscipiat, adquiretur mihi per eundem possessio. quod non tantum scientibus nobis obuenit, set etiam si ignorantibus nobis aliquid nostro nomine ipsis detur, possessio nobis quaeritur, sicut uult constitutio diui Seueri. ceterum possessione nobis quaesita, tacite et dominium sequitur, si modo dominus sit qui tradit. sin autem dominus non fuerit, per usucapionem longiue temporis
6. possessionem traditae rei proprietatem adipiscar. 6. Hactenus tantisper admonuisse sufficit quemadmodum singulae res nobis adquirantur. est et alius quidam adquirendi modus, scilicet legatum, per quod singulae res nobis adquiruntur. item ius fideicommissorum, per quae etiam singulae res nobis relinqui possunt; quae opportunius inferiore loco referemus. itaque adquisitionum modi aut naturalis aut ciuilis iuris sunt. naturales quidem sunt XIIII, idest: I uenatio. II praeda. III lapilli in litore inuenti. IIII nostrorum animalium fetus V. alluuio. VI insula in mari aut flumine enata. VII praediorum prope alueum fluminis dere-

λειφθείσης νηδύος· η̄· τὸ ἀλλοτρίαν ὕλην εἰς εἶδος μετασχηματίσαι εἰς τὴν ἀρχαίαν οὐ δυνάμενον ἀναδραμεῖν ὕλην· θ̄· τὸ ἐξ οἰκείας καὶ ἀλλοτρίας ὕλης εἶδος κατασκευᾶσαι· ι̅· τὸ δύο ὕλας τὰς αὐτὰς ἢ καὶ διαφόρους κατὰ γνώμην μιγῆναι τῶν δεσποτῶν ἢ ἐκ τύχης· ια̅· ὁ κανὼν ὁ λέγων εἴκειν τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις, ὡς ἐθεωρήθη ἐν πολλοῖς θέμασιν·[1]) ἡνίκα ἐξ ἀλλοτρίας ὕλης οἶκον ποιήσω ἐν ἐμῷ ἐδάφει ἢ ἐξ ἐμῆς ἐν ἀλλοτρίῳ, ἢ[2]) τὸ ἀλλότριον δένδρον ἐν οἰκείῳ φυτεύσω[3]) ἀγρῷ ἢ ἐκ τοῦ ἐναντίου ἴδιον δένδρον ἐν ἀλλοτρίῳ ἐδάφει φυτεύσω, ὥςτε καὶ[4]) ῥιζωθῆναι, ἢ[5]) γράμματα ἐπιτιθέμενα[6]) ἐμαῖς βεμβράναις ἢ χάρταις. ἐπὶ δὲ τῆς εἰκόνος ὁ κανὼν παρεβαίνετο· ἐνικᾶτο γὰρ ὑπὸ τῆς γραφῆς ἡ σανίς. ιβ̅ τὸ bona fide ἀλλότριον νέμεσθαι ἀγρὸν καὶ σπεῖραι τοῦτον· ιγ̅· τὸ θησαυρὸν[7]) εὑρεῖν ἐν ἰδίῳ τόπῳ ἢ sácrῳ ἢ religiósῳ κατὰ τύχην· εἰ γὰρ ἐν ἀλλοτρίῳ, τοῦ ἡμίσεως γενήσεται δεσπότης εἴτε ἰδιώτου εἴτε βασιλέως εἴτε fiscu εἴτε πολιτικὸς ὁ τόπος ὑπάρχει· ιδ̅· ἡ **traditíων** δὲ πρὸς τούτοις. ἔννομοι δὲ κτήσεις πάλαι μὲν πέντε, νῦν δὲ τέσσαρες. οἷον α̅· ἡ usucapíων· β̅· ἡ χρονία νομή· γ̅· ἡ πάλαι γενομένη προσαύξησις ἐκ προπετοῦς τοῦ ἐπικοίνου οἰκέτου ἐλευθερίας· δ̅· τὸ ληγάτον καὶ ε̅· τὸ fideicómmisson. ἀλλ' αὗται μὲν ἰδικαὶ λέγονται κτήσεις, ἐπειδὴ ἕν τί ἐστι τὸ γενόμενον καὶ ἓν ὑπὸ τὴν ἡμετέραν δεσποτείαν ἔρχεται πρᾶγμα. εἰσὶν ἄλλαι κτήσεις αἱ λεγόμεναι καθομάδα, ἐν αἷς ἓν μέν τί ἐστι τὸ γινόμενον, πολλὰ δὲ ὑφ' ἓν ὑπὸ τὴν ἡμετέραν δεσποτείαν γίνεται πράγματα. εἰσὶ δὲ αἱ καθομάδα κτήσεις αὗται· κληρονομία bonorum possessíων[8]) adrogatíων καὶ τὸ προςχυρωθῆναι ἡμῖν τὴν ἀλλοτρίαν οὐσίαν libertatium[9]) conseruandarum causa. καὶ δεῖ πρότερον[10]) κληρονομίας διεξελθεῖν·

---

1) οἷον add. Vi. R. 2) d. Vi. R. 3) hic et postea ἐφύτευσα ex correctione 1a ipsius manus, cum antea fuerit, φ—ω: φυτεῦσαι Vi. R. 4) add. ex M. Vi. R. 5) d. L1. L2. L6. Vi. R. 6) —μεθα M. —θήσω foret expectandum. 7) θεσ— M. 8) scripsi ex M. L1. L2. ἤτοι διακατοχὴ ἢ ad. libri. ed. 9) Ita M. L1. L2.: ed —tum. ἤγουν τῶν ἐλευθεριῶν ἕνεκα συντηρήσεως καὶ φυλακῆς add. Vi. R. 10) περὶ ad. L1. L2. L6. Vi. R.

lictum possessio. VIII alienae speciei eiusmodi transformatio, quae ad pristinam materiam nequeat reuerti. VIIII ex sua alienaue materia speciei confectio. X duorum materiae eiusdem diuersiue generis commixtio ex dominorum uoluntate seu fortuita. XI regula ex qua superimposita subiectis cedunt, ut multis exemplis uisum est: ueluti quotiens ex aliena materia domum in meo solo aedificauerim uel ex mea materia in solo alieno uel arborem alienam in meo plantauerim fundo, uel ex diuerso arborem meam in alieno plantauerim solo ut et radices egerit uel litterae meis chartis membranisue inscriptae sint. porro in imagine regula praetermissa est; cedit enim tabula picturae. XII bonae fidei alieni agri possessio et satio. XIII thensauri inuentio in loco proprio sacroue religiosoue fortuita: si enim in alieno loco quis inuenerit, dimidiae partis dominus fiet, siue priuati siue Caesaris siue fisci siue ciuitatis locus sit. XIIII deinceps traditio. iuris ciuilis adquisitiones olim quidem quinque, nunc uero quattuor. ut ecce I usucapio II diuturna possessio. III quod olim optinebat ius adcrescendi ex temere facta serui proprii manumissione. IIII legatum. V fideicommissum. set hae singulares dicuntur adquisitiones quia unum quid est, quod perficitur, et singulae res in nostram perueniunt potestatem. sunt et aliae adquisitiones per uniuersitatem, quas uocant, in quibus unum quidem est quod fit, plures autem res per unum actum in nostrum dominium transeunt. sunt autem adquisitiones per uniuersitatcm hae: hereditas honorum possessio adrogatio et alienorum bonorum addictio libertatium conseruandarum causa. ac prius de hereditatibus

ἀλλ' ἐπειδὴ τῶν κληρονομιῶν διπλῆ τίς ἐστιν ἡ κτῆσις (ἢ γὰρ ἐκ διαθήκης ἢ ἐξ ἀδιαθέτου ἡμῖν προςγίνονται[1]*), δεῖ πρότερον περὶ τῆς ἐκ διαθήκης προςγινομένης διαλεχθῆναι. καὶ τέως ἐν προοιμίοις διδάξαι χρὴ τίνα τρόπον αἱ διαθῆκαι γίνονται.*

De testamentis ordinandis.[2]) Titulus 10.

Πρὸ τῶν ἄλλων ἀναγκαῖον εἰπεῖν τὸν τῆς διαθήκης ὅρον
ἤτοι ἐτυμολογίαν.[3]) *ἡ*[4]) *διαθήκη παρὰ Ῥωμαίοις λέγεται* testa-
mentum *ἐντεῦθεν δεξαμένη τὴν ἐτυμολογίαν* quod testa-
tio mentis est[5]), *ἐπειδὴ μαρτυρίαν*[6]) *ἔχει τῆς τοῦ τελευτή-*
σαντος διανοίας. 1. *Ἵνα δὲ μηδὲν ἡμῖν*[7]) *τῶν πάλαι πολιτευο-* 1.
μένων ἄγνωστον εἴη, κἂν ἡ τούτων ἄγνοια οὐδένα φέρει κίνδυ-
νον, ἀλλ' οὖν πρὸς ἱστορίαν καὶ τὸ μαθεῖν πῶς κατὰ μικρὸν
προϊόντος ἠμείφθη τοῦ χρόνου, εἰπεῖν οὐκ ἄτοπον. τὸ παλαιὸν
δύο γένη ἦν διαθηκῶν, καὶ τὸ μὲν ἐλέγετο calatis comitiis,
τὸ δὲ procinctu[8]).[a]) *καὶ τὸ μὲν* calatis comitiis *ἐγίνετο καιρῷ*
εἰρήνης δὶς τοῦ ἐνιαυτοῦ τοῦτον τὸν τρόπον. ὁ κῆρυξ ἅπασαν
περιῄει τὴν πόλιν συγκαλῶν καὶ πᾶς ὁ δῆμος συνέτρεχε καὶ ὁ
βουλόμενος ὑπὸ μάρτυρι διετίθετο τῷ δήμῳ. εἴρηται δὲ ca-
latis comitiis *ἐντεῦθεν·* calare *ἐστὶ τὸ καλεῖν*, comitia *δὲ ἡ*
σύνοδος. ἐπειδὴ οὖν καλούμενοι συνίεσαν, ἐκλήθη calatis
comitiis. *τὸ δὲ* procinctu *ἐγίνετο ἡνίκα ἤμελλον ἐξιέναι εἰς*[9])
πόλεμον τὸ ὄνομα δεξάμενον[10]) *ἐκ τοῦ σχήματος ὅπερ ἔχοντες*
διετέθεντο. procinctus *γὰρ λέγεται ὁ ἐζωσμένος καὶ ἕτοιμος*

---

1) *—εται* F. 2) *περὶ διαθήκης καταστάσεως* ad. libri. 3) *ἑτοιμ.* M. 4) *δὲ* omisi cum M. 5) L1. L2. M. (testamentis *ἐστιν*): L6. *ἐτ.*: sit edit. 6) *ἐπ. μαρτυρία διανοίας ἐστὶ καὶ γὰρ μαρτυρίαν* cet. Vi. R. 7) d. Vi. R. 8) ita M. L1. L2.: —tum ed.: *προκινήτου* proquinctu procinctu Taur. *προκινήτου προκίνκτου προκίνατα* L6. 9) *ἐπὶ* L1. L2. F. 10) *—νοι* L6.

a) Cf. Gai. 2, 101 sq.

dispiciendum est. set cum hereditatium duplex quodammodo modus adquisitionis sit (aut enim ex testamento aut ab intestato ad nos pertinent), oportet prius dispicere de ea quae ex testamento defertur. et ante omnia dicendum est quomodo testamenta ordinentur.

De testamentis ordinandis. Titulus 10.

In primis proponenda est definitio siue ἐτυμολογία. testamentum dicitur apud Romanos inde uocis originem ducens quod testatio mentis sit, testimonium enim defuncti
1. uoluntatis in se continet. 1. Ut uero nihil eorum quae olim optinebant ignoretur, quamuis eiusmodi ignorantia nullum periculum praeseferat, tamen ad historiam cognoscendam atque ad discendum quomodo paullatim temporis progressu res sit mutata, id tractare haud absurdum uidetur. olim duo genera testamentorum erant, et unum quidem calatis comitiis dicebatur, alterum autem procinctu. et calatis comitiis testamentum fiebat tempore pacis bis in anno per hunc modum. praeco omnem circumibat ciuitatem populum conuocans, omnisque populus conueniebat et qui uolebat teste populo testamentum condebat. hinc uero »calatis comitiis« dicitur, quia calare »conuocare« est, comitia autem conuentus sunt. cum uero conuocati conuenirent, calatis comitiis id fieri dicebatur. procinctu autem fiebat cum in proelium essent exituri; ac nomen ab habitu sumptum est, quo testabantur. procinctus enim dicitur instructus et

πρὸς παράταξιν· ἐπειδὴ γὰρ ἄδηλα τὰ τῆς ὑποστροφῆς, διατιθέμενοι πρότερον[1]) οὕτως ὥρμουν ἐπὶ τὸν πόλεμον. ὄντων δὲ τούτων τῶν δύο γενῶν, συνέβαινέ τινας ἀφνιδίῳ[2]) θανάτῳ κατεσχεθέντας ἀδιαθέτους τελευτᾶν, οὔτε γὰρ calatis comitiis διετίθεντο διὰ τὸ μήπω ἐπιστῆναι τὸν καιρὸν, οὔτε procinctu διὰ τὸ μὴ εἶναι πόλεμον, ἄλλως τε καὶ διατίθεσθαί τις ἀπαίσιον[3]) ἐνόμιζεν ὑγιαίνων τῷ σώματι. διὰ τοῦτο ἐπενοήθη τρίτον γένος ὅπερ ἐλέγετο per aes et libram· ἐγίνετο γὰρ κατὰ emancipatíona. emancipatíωn δέ ἐστιν εἰκονικὴ πρᾶσιν, ἐπράττετο δὲ τοῦτον τὸν τρόπον.[a]) παρεγένοντο πέντε μάρτυρες καὶ ζυγοστάτης πολῖται ῥωμαῖοι ἔφηβοι καὶ παρόντων αὐτῶν ἐκεῖνος, ὃς ἤμελλε γίνεσθαι διάδοχος τοῦ τελευτήσαντος, ἠγόραζε τὴν τοῦ μέλλοντος τελευτᾶν περιουσίαν λέγων τινὰ ῥήματα τυπικὰ, ἃ νῦν περιττόν ἐστι λέγειν καὶ ἐπεδίδου λόγῳ τιμήματος εἰκονικοῦ νοῦμμον τῷ δεσπότῃ τῆς περιουσίας.[4]) καὶ ἐλέγετο ὁ ἀγοράζων familiémptωr[5]) καὶ λοιπὸν ὁ μέλλων τελευτᾶν διετύπου τί ὀφείλει δοθῆναι μετὰ τὴν αὐτοῦ τελευτήν· ἔλεγε γὰρ τῷ familiémptori, ὅτι· βούλομαί σε τῷδε δοῦναι ἀγρὸν τῷδε οἰκίαν τῷδε ἑκατὸν νομίσματα. καὶ τούτου ἐπινοηθέντος τοῦ γένους[b]), τὰ πρότερα ἐκεῖνα δύο γένη τὸ calatis comitiis καὶ τὸ procinctu ἐκ πλείστων ἤδη τῶν χρόνων εἰς ἀσυνήθειαν ἐχώρησε καὶ αὐτὸ δὲ τὸ per aes et libram κατεφρονήθη κατὰ μικρόν. ἐπειδὴ γὰρ ὁ familiémptωr αὐτὸς ἦν καὶ κληρονόμος καὶ ἐντεῦθεν δὴ[6]) λοιπὸν γινώσκων, ὅτι αὐτὸς ἔσται[7]) ὁ[8]) διάδοχος, ἐπεβούλευε τῷ δεσπότῃ τῆς περιουσίας, διὰ τοῦτο κατὰ μὲν τὸ ἀρχαῖον σχῆμα παρελαμβάνετο familiémptωr, ὅστις εἰκονικῶς ἠγόραζε τὴν τοῦ μέλλοντος τελευτᾶν ὑπόστασιν, ὁ δὲ διατιθέμενος ἰδίᾳ ἔγραφεν ἐν δέλτοις ἢ ἐν χάρταις ὃν ἠβούλετο ἔσεσθαι αὐτοῦ κληρονόμον. 2. Ἀλλὰ ταῦτα μὲν τὰ εἰρημένα 2.

---

1) πρῶτον Vi. R. 2) —δίᾳ νόσῳ Vi. R. 3) ἄπαις ὢν M.: ἐνομ. ἀπ. L6. 4) ὑποστάσεως L2. 5) scripsi ex M. L1. L2. L6.: φαμιλιέμπτωρ Vi.: familiae emptor F. R. 6) ἤδη L1. L2. F. d. Vi. R. 7) ἐστὶν L1. L2. F. 8) d. Vi. R.

a) Gai. 2, 104.: de u. 'emanc.' cf. Voigt: Zwölf Tafeln II 127 n. b) G. 2, 103.

expeditus exercitus. cum enim dubium esset an redirent, facto prius testamento, ita in praelium exibant. cum haec duo genera in usu essent, fiebat ut quidam subitanea morte perculsi intestati morerentur, neque enim calatis comitiis testari poterant, cum nondum eiusmodi comitiorum dies adesset, neque procinctu, cum bellum non instaret. set in bona ualetudine quis testamentum, utpote rem mali ominis, non facile esset adgressus. et ideo introductum est tertium genus, quod dictum est *per aes et libram*; fiebat enim per mancipationem. mancipatio est imaginaria quaedam uenditio, quae per hunc modum procedebat. aderant quinque testes et libripens, ciues romani puberes, iisque praesentibus, qui testatoris successor futurus erat, emebat morituri bona uerba sollemnia proferens, quae nunc repetere superuacuum est dabatque nomine pretii imaginarii nummum unum domino bonorum et dicebatur qui emebat *familiae emptor*. deinde moriturus disponebat quid post suam mortem dari oporteret, dicebat enim familiae emptori: huic fundum dari uolo, huic domum, huic aureos centum. hoc autem testamenti genere introducto, duo illa genera *calatis comitiis* ac *procinctu* longo iam abhinc tempore in desuetudinem abierunt, et hoc *per aes et libram* paullum mutatum est. cum enim familiae emptor ipse et heres esset, iam certior factus se successorem fore familiae domino facile insidiari poterat. propterea secundum ueterem formam adhibitus est familiae emptor, qui per imaginariam uenditionem morituri familiam emeret, testator autem propria manu in tabulis chartaue eius nomen
2. signabat, quem sibi heredem fore uellet. 2. Set praedicta

τῶν διαθηκῶν γένη ἡ πολιτικὴ νομοθεσία ἠπίστατο μόνη, μετὰ δὲ ταῦτα τὸ τοῦ praétoros *ἤδικτον*[1]) *ἕτερον τύπον ἐπὶ τῇ ποιήσει διαθηκῶν*[2]) *ἐξηῦρεν. κατὰ γὰρ τὸ* praetórion *δίκαιον οὐδεμία* emancipatíωn[3]) *ἐπράττετο, ἀλλὰ ἑπτὰ μαρτύρων σφραγῖδες ἤρκουν εἰς τὸ ποιῆσαι* praetorían *διαθήκην· εἰ γάρ τις διέθετο καὶ τὴν διαθήκην αὐτὴν*[4]) *ἑπτὰ μαρτύρων σφραγῖσιν ἐποίησε σφραγισθῆναι, ἀπετελεῖτο* praetoría *διαθήκη, ὁπότε τὸ πολιτικὸν οὐκ οἶδεν ἀναγκαίας τὰς τῶν μαρτύρων σφραγῖδας.* 3. *Ἀλλ'* 3.
ἐπειδὴ κατὰ βραχὺ τοῦτο μὲν ἐκ τῆς διαφόρου τῶν ἀνθρώπων χρήσεως, τοῦτο δὲ καὶ ἐξ ὧν ἐδιόρθωσαν[5]) *αἱ διατάξεις εἰς μίαν συμφωνίαν τὸ πολιτικὸν ἅμα καὶ τὸ* praetórion *δίκαιον ἤρξατο συνάπτεσθαι, ἐκράτησεν*[6]), *ὥςτε ἐν ἑνὶ καὶ τῷ αὐτῷ χρόνῳ, ὅπερ ἠβούλετο τὸ πολιτικὸν, ἑπτὰ παρόντων μαρτύρων*[7]) *καὶ ὑπογραφόντων*[8]), *ὅπερ ἐπενόησαν αἱ διατάξεις, καὶ σφραγῖδας ἐπιτιθέντων, ὅπερ ὁ* praétωr *ἠβούλετο, ἡ διαθήκη δηλοῦται.*[a]) *ὥςτε οὖν σήμερον αἱ διαθῆκαι ἐκ τούτων τῶν τριῶν νομίμων τὴν σύστασιν ἔχουσιν, ἐκ τοῦ πολιτικοῦ καὶ τῶν διατάξεων καὶ τοῦ* praétoros.[9]) *ἐκ μὲν γὰρ*[10]) *τοῦ πολιτικοῦ κατάγεται τὸ παρόντων*[11]) *μαρτύρων μιᾷ ὑφῇ συναπτῶς τὴν διαθήκην πληροῦσθαι, αἱ δὲ τοῦ* testátoros *καὶ τῶν μαρτύρων ὑπογραφαὶ ἐκ τῶν διατάξεων, αἱ δὲ σφραγῖδες καὶ ὁ τῶν ἑπτὰ ἀριθμὸς μαρτύρων ἐκ τοὺ ἠδίκτου τοῦ* praétoros. **4.** b) *Πᾶσα* 4.
δὲ ἡ τοιαύτη παραφυλακὴ διὰ τὸ κακουργίας πάσης ἀπηλλάχθαι τὴν τῶν διαθηκῶν ποίησιν καὶ παντὸς αὐτὰς καθαρεύειν δόλου ἐκ διατάξεως τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως προςτέθειται, ὥςτε τὸν[12]) *διαθέμενον οἰκείᾳ χειρὶ τὸ τοῦ κληρονόμου ὄνομα δηλῶσαι γράφοντα ὅτι τ ό ν δ ε ἐ ν ε σ τ η σ ά μ η ν κ λ η ρ ο ν ό μ ο ν.*

---

1) édicton L1.: *ἔδικτον* edit. 2) *ἐπὶ τῶν διαθ.* Vi. R.: *τῆς δ—ης.* L6. 3) *τουτ. εἰκονικὴ πρᾶσις* ad. libri. ed. 4) M. L1. L2.: F. '*ταύτ. τὴν διαθ. αὐτὴν*' '*ταύτ. τ. δ.*' Vi. R. *τὴν δ.* L6. 5) *ἐδιωρθώσαντο* Vi. R., qui cj. *διώρθωσαν.* 6) *δὲ* ad. Vi. 7) *μ. π.* Vi. R. 8) *—ἐντων* Vi. 9) *πραιτορίου* Harm. 10) Add. M. L1. L2. Epi. F. 11) *τῶν* add. Epi. Vi. R. Harm. 12) d. L1. L2. F.

a) Epi. 39, 3 sq. Epa. 29, 4 sq. Proch. 21, 4. Harm. 5, 1, 4.
b) Harm. 5, 1, 3. 9.

testamentorum genera ius tantum ciuile nouerat; deinde ex praetoris edicto alia forma testamentorum ordinandorum introducta est. iure enim honorario nulla mancipatio fiebat, set septem testium signa sufficiebant ad praetorium condendum testamentum. si enim quis testamentum fecisset idque septem testium signis signandum curasset, perfectum erat praetorium testamentum, cum iure ciuili testium signa non essent
3. necessaria. 3. set cum paullatim tam ex uario usu hominum, quam ex constitutionum emendationibus coeperunt in unam consonantiam ciuile simul ac praetorium ius coniungi, constitutum est ut uno eodemque tempore, quod ius ciuile exigebat, septem testibus adhibitis et subscribentibus, quod constitutiones inuenerant, et signacula imponentibus, quod praetor ordinauerat, testamentum conderetur. itaque hodie testamenta ex tripertito iure originem ducunt, ex iure scilicet ciuili, ex diualibus constitutionibus atque ex praetoris edicte. ex iure enim ciuili descendit ut praesentibus testibus uno contextu testamentum condatur; testatoris et testium subscriptiones descendunt ex constitutionibus: signacula et numerus
4. VII testium ex edicto praetoris. 4. Omni autem eiusmodi obseruationi quae ad testamenta omni fraude purganda omnique dolo liberanda pertinet, constitutione piissimi principis nostri additum est ut testator suapte manu heredis nomen exprimat, his uerbis: hunc heredem institui. id ni

τούτο δὲ αὐτοῦ μὴ ποιήσαντος, ἀνάγκη τοῖς μάρτυσι λέγεσθαι
τὸ τοῦ κληρονόμου ὄνομα καὶ ἁπλῶς πάντα δεῖ προβαίνειν κατὰ
τὰ εἰρημένα αὐτῇ θείᾳ[1]) διατάξει. 5. a) Ἐπειδὴ δὲ εἰρήκαμεν 5.
τοὺς μάρτυρας χρῆναι σφραγῖδας ἐπιτιθέναι, ὀφείλεις εἰδέναι,
ὅτι καὶ ἑνὶ δακτυλίῳ δύνανται[2]) σφραγίζειν τὴν διαθήκην (τί
γὰρ ὅτι ἕπτα μὲν[3]) μάρτυρες εἶχον δακτυλίους, μιᾶς δὲ γλυφῆς
ἦσαν οἱ ἑπτά, τουτέστιν ἕνα καὶ τὸν αὐτὸν εἶχον χαρακτῆρα;)
ὡς[4]) τῷ Pomponíῳ δοκεῖ. καὶ ἀλλοτρίῳ δὲ δακτυλίῳ ἔξεστι
σφραγίζειν. 6. Ἐκεῖνοι πρὸς μαρτυρίαν παραλαμβάνεσθαι δύ- 6.
νανται, μεθ' ὧν ἔχομεν testamentifactíona, τουτέστιν οἵτινες
ὑφ' ἡμῶν δύνανται γράφεσθαι κληρονόμοι[5]) καὶ[6]) γράφειν
ἡμᾶς. εἰσὶ δέ τινες παντελῶς εἰργόμενοι τῆς[7]) ἐν διαθήκαις[8])
μαρτυρίαις, οἷον γυνὴ ἄνηβος οἰκέτης ἄλαλος κωφὸς μαινόμε-
νος ἄσωτος[9]) ἔτι δὲ καὶ ὁ improbus intestabilisque. τίς δὲ
οὗτός ἐστιν; b) οἷον διατιθεμένου[10]) τινός, ἐκλήθη Títios ἐπὶ
μαρτυρίαν· ἐμαρτύρησε, τουτέστιν ὑπέγραφεν ἐν τῇ διαθήκῃ
καὶ ἐσφράγισεν. τελευτήσαντος τοῦ testátoros, οὐκ ἠθέλησε
παραγενέσθαι καὶ μαρτυρῆσαι ὅτι αὐτοῦ ἐστιν ἥ τε ὑπογραφὴ
καὶ ἡ σφραγίς. μισοῦσι τὸν τοιοῦτον οἱ νόμοι καὶ οὐκ ἐῶσιν
αὐτὸν λαβεῖν τι ἐξ ἀλλοτρίας διαθήκης οὐδὲ διδόασιν αὐτῷ τοῦ
διατίθεσθαι παρρησίαν οὐδὲ συγχωροῦσιν αὐτῷ μαρτυρεῖν ἑτέ-
ρου διατιθεμένου. λέγεται οὖν[11]) ὁ τοιοῦτος improbus inte-
stabilis. 7. c) Τί οὖν ὅτε[12]) εἷς τῶν μαρτυρησάντων τῇ δια- 7.
θήκῃ κατὰ μὲν τὸν καιρὸν τῆς διαθήκης ἐλεύθερος ἐνομίζετο,
ὤφθη δὲ μετὰ ταῦτα δοῦλος; σκοπήσωμεν εἰ ἐντεῦθεν[13]) ἀκυ-
ροῦται ἡ διαθήκη, ἐπειδὴ δοῦλος, ὡς εἴρηται, κεκώλυται μαρ-
τυρεῖν. ταύτης οὖν οὔσης τῆς ἀμφιβολίας, γέγονε προτέρα[14])

---

1) d. Vi. R.: *δακτύλῳ* hic et deinc. L 6. 2) *—αται* Vi. F 1. 3) *οἱ ζ̄. μ.* Vi. F. 4) *καθὰ* Vi. R. 5) *κλ. γρ.* Vi. R. 6) plures de *ἢ* seu *ἢ καὶ* cj. 7) *ταῖς —αις* M. 8) *—κῃ* Vi. R. 9) *οἰκέτης* h. l. Vi. R. 10) *διαθ.* Vi. R. 11) *δὲ* Vi. R.: *δὲ διὰ τοῦτο* L 6. 12) M.: cet. *ὅτι.* 13) d. Vi. R. 14) *προτέρου* Vi. R.

a) Harm. eod. Epi. 39, 5. b) Cf. scholion Bas. (II, 397). Epa. 12, 15. Proch. 27, 32. Cf. Tab. VIII 22 Schöll — Rendic. Ist. Lomb. XVI 57. c) Cf. schol. id.

faciat, opus est ei testibus heredis nomen manifestare et
sic omnia procedere debent secundum illius constitutionis te-
5. norem. 5. Cum dixerimus oportere testes signum imponere,
admonendus es etiam uno annulo testamentum eos posse sig-
nare (quid enim si testes singuli habeant annulos, qui tamen
unius sint sculpturae, idest unam eandemque formam prae-
seferant?), secundum quod Pomponio uisum est. set et alieno
6. quoque annulo licet signare. 6. Illi autem testes adhiberi
possunt, cum quibus testamentifactionem habemus, idest qui
a nobis possunt heredes scribi, quique nos scribere possunt.
sunt autem qui a testimonio in testamento omnino repellan-
tur, ueluti mulier impubes seruus mutus surdus furiosus
prodigus et improbus intestabilisque. Quis est hic? ut ecce
cum quis testamentum conderet, uocatus est Titius ad testi-
monium praestandum: testis adfuit, idest subscripsit in testa-
mento et signauit. mortuo testatore, noluit uenire et fateri
suam esse subscriptionem suumque signum. oderunt eius-
modi testem leges neque permittunt ei aliquid ex alieno te-
stamento capere neque ei testandi facultatem tribuunt, neque
testimonium praebendi, alio testante. dicitur eiusmodi testis
7. improbus intestabilis. 7. Quid igitur si cum aliquis ex testi-
bus testamenti faciendi tempore liber existimaretur, postea
seruus apparuit? dispiciamus an testamentum inritum sit,
seruus enim, uti dictum est, testis esse nequit. cum de

μὲν διάταξις Adrianû[1]) *τοῦ βασιλέως πρὸς Κατώνιον Βῆρον*[2]).
πάλιν δὲ τοῦ αὐτοῦ συμβάντος, Σεβῆρος καὶ Ἀντονῖνος ἀντέ-
γραψαν ἐξ οἰκείας φιλοτιμίας τῇ τῆς διαθήκης ἰσχύϊ συντρέχειν,
ὥςτε εἶναι αὐτὴν ἐν τοιαύτῃ[3]) *τάξει, ἐν ᾗπερ ἤμελλεν εἶναι, εἰ*
τὴν ἀρχὴν ἀνεπιλήπτως ἐγένετο, πάντων ἐλευθέρων μαρτυρη-
σάντων διὰ τὸ κατὰ τὸν χρόνος τῆς ποιήσεως τῆς διαθήκης
τὸν εἰρημένον μάρτυρα κατὰ τὴν πάντων γνώμην ἐλεύθερον
εἶναι νομίζεσθαι καὶ μηδὲ[4]) *ὑπεῖναί τινα τὸν περὶ τῆς*[5]) *κατα-*
στάσεως αὐτῷ ζήτησιν[6]) *ἐπάγοντα.* 8. *Ἐμοῦ διατιθεμένου δύ-* 8.
ναται μαρτυρεῖν τῇ ἐμῇ διαθήκῃ Primos *ἅμα* Secúnd*ῳ τῷ*
ἰδίῳ ὑπεξουσίῳ. εἰ δὲ καὶ δύο ἦσαν συνυπεξούσιοι ἀδελφοί,
ὁμοίως τὸ τῆς μαρτυρίας ἀκώλυτον. οὐδὲν γάρ ἐστι τὸ ἐμπο-
δίζον ἐξ ἑνὸς οἴκου ἤτοι μιᾶς familías *πολλοὺς*[7]) *ἀλλοτρίᾳ μαρ-*
τυρεῖν διαθήκῃ. 9. *Ἡνίκα δὲ διατίθηταί τις, εἰ*[8]) *βούλεται* 9.
τὴν διαθήκην ἀνεπίληπτον εἶναι, σκόπει[9]) *τοὺς μέλλοντας μαρ-*
τυρεῖν καὶ ἐξέτασον[10]) *μή τις τῶν μαρτύρων ὑπεξούσιός ἐστι*
τῷ testátori, *καὶ εὑρὼν τῆς μαρτυρίας αὐτὸν ἐξέλαυνε.*[11])
οὐκέτι δὲ ζητοῦμεν μή τις τῶν μαρτύρων ὑπεξούσιον ἔχει τὸν[12])
testátora *ἢ συνυπεξούσιός ἐστιν αὐτῷ καὶ ὁ λογισμὸς οὗτός*
ἐστι· τί βούλει τὸν διατιθέμενον εἶναι αὐτεξούσιον ἢ ὑπεξού-
σιον; εἰ μὲν αὐτεξούσιον[13]), *οὐ προβαίνει τὸ λέγεσθαι μή τίς*
ἐστιν αὐτῷ συνυπεξούσιος ἢ ἔχει αὐτὸν ἐν ὑπεξουσιότητι. εἰ
δὲ ὑπεξούσιον αὐτὸν θεματίζεις[14]), *ἑτέρῳ μείζονι λόγῳ τὰ τῆς*
διαθήκης ἐπέχεις, ὑπεξούσιος γὰρ οὐ δύναται διατίθεσθαι.
ἐπειδὴ διαθήκη ἐστὶ τῶν ὄντων διατύπωσις, οὐ νομίζεται δέ τι
ἔχειν ὁ ὑπεξούσιος ἐν πληρεστάτῃ[15]) *ἐξουσίᾳ, ὥςτε πράττειν ὃ*
βούλεται ἐπ' αὐτῷ. εἰ δὲ δυνηθῶμεν εὑρεῖν ὑπεξούσιον δια-
τιθέμενον, τότε λοιπὸν σκοπήσομεν[16]) *εἰ δυνατὸν προβαίνειν τὰ*

---

1) scripsi ex L1. 2) *Βιρον* M. 3) ad. Vi. R.: *τῇ τοι.* L6. 4) *μὴ* Vi. R. 5) addidi ex M. 6) *ζ. αὐτ.* Vi. R.: '*ὡς μήτινος ἐπ' αὐτοῦ ἐπαγαγόντος ζήτησιν περὶ καταστάσεως*' Bas. 7) *ἐν* ad. L6. Vi. R. 8) *καὶ* ad. M. 9) *—είτω* Vi. R. 10) *ἐξεταζέτω* Vi. R. 11) *—έτω* L6. Vi. R. 12) d. F. 13) *εἴποις* add. Vi. R. 14) *—σεις* Vi. R., qui cj. *—σοις* (sic!). 15) *τῇ* add. F.: infr. '*ἐν αὐτῇ*' L6. 16) *—ποῦμεν* L1. L2. Vi. R., qui cj. *—ῶμεν*.

hoc ambigeretur, lata est prius constitutio diui Hadriani ad
Catonium Verum et, cum rursus idem contigisset, Seuerus
et Antoninus rescripserunt se ex sua liberalitate testamento
subuenire, ut eo loco haberetur quo futurum esset, si ab ini-
tio ualide esset conditum, omnibus testibus liberis adhibitis,
cum tempore, quo testamentum conderetur, omnium consensu
eiusmodi testis liber esse existimaretur, nec quisquam esset,
8. qui ei status quaestionem moueret. 8. Si ego testamentum
faciam, possunt in eo testes adhiberi Primus simul ac Secun-
dus, qui eius iuri sit subiectus. set et si duo fratres in
eiusdem potestate sint, item simul testes esse possunt. quia
nihil nocet ex una domo idest ex una familia plures testes
9. alieno testamento adhiberi. 9. Cum autem quis testatur, si
uelit testamentum firmum esse, de iis qui testes futuri sint
dispicere debet, atque animaduertere ne quis testium testa-
toris in potestate sit; nam si eiusmodi sit, a testimonio re-
pellendus erit. non uero inquirimus an quis testium testa-
torem in potestate habeat, uel cum eo in eiusdem patris po-
testate sit: cuius rei ratio haec est. uisne testatorem sui
iuris an alieni iuris esse? si sui iuris est, uereri non opor-
tet ne quis cum eo in eiusdem potestate sit, uel ne quis
eum in potestate habeat. sin autem alieni iuris eum fingis,
potiori quadam ratione testamentum procedere non sinis: qui
enim alieni iuris est testari non potest. nam testamentum
est bonorum quae in patrimonio sunt ordinatio; non intelle-
gitur autem is, qui alieni iuris est, aliquid adeo in sua po-
testate habere, ut quidquid uelit in eo statuere possit. si
uero filium familias inuenire possimus, qui testari queat, tunc
dispiciamus an cetera procedant. et inquirentes inuenimus

ἑξῆς· καὶ ζητοῦντες εὑρίσκομεν τὸν uetránon[1]) *ὑπεξούσιον* (uetrános *δέ ἐστιν ὁ στρατευσάμενος καὶ ἤδη τῆς στρατείας ἀφεθεὶς) εἰς τὸ* canstrénsion[2]) pecúlion *δυνάμενον*[3]) *διατίθεσθαι; τουτέστιν εἰς ὃ ἐκ τῶν ἐν πολέμοις*[4]) *ἐκτήσατο καμάτων· ἐτίμησαν γὰρ αὐτὸν αἱ διατάξεις. οὐκοῦν ἐπειδὴ ὁ διατιθέμενος ὑπεξούσιος εὑρέθη, τρακταΐσομεν*[5]) *τὰ ἑξῆς. ἆρα τοῦ* uetránu *ὑπεξουσίου διατιθεμένου εἰς τὸ* canstrénsion pecúlion, *ὁ πατὴρ ἔχων αὐτὸν ὑπεξούσιον ἢ ὁ ἀδελφὸς ὁ συνυπεξούσιος δύνανται μαρτυρεῖν; καὶ λέγομεν ὅτι* *οὐδαμῶς*, *ἡ γὰρ οἰκιακὴ μαρτυρία, ὃ λέγουσιν οἱ νομικοὶ* domesticum testimonium *οὐ καλῶς ἐν διαθήκαις*[6]) *γίνεται.*[a]) *τὴν δὲ οἰκιακὴν μαρτυρίαν οὐκ ἐκ τῆς συγγενείας ἀλλ' ἐκ τῆς ἑνώσεως τῆς ἐν ὑπεξουσιότητι λαμβάνομεν. εἰ καὶ τὰ μάλιστα γὰρ αἱ διατάξεις διατίθεσθαι συνεχώρησαν αὐτῷ ἐν ὑπεξουσιότητι, ἀλλ' οὖν ἀπαιτοῦσιν αὐτὸν ὥςτε διατιθέμενον μὴ καταφρονεῖν τῆς ἀκριβείας.* 10. *Διατιθέμενός τις ἐνεστήσατό με κληρονόμον·* 10. *οὐ δύναμαι μαρτυρεῖν τῇ ποιήσει ταύτης τῆς διαθήκης, οὐδὲ ὁ ἐμὸς ὑπεξούσιος, οὐδὲ ὁ ἔχων με ἐν ὑπεξουσιότητι πατήρ, οὐδὲ ὁ ἀδελφός μου ὁ συνυπεξούσιος. ὅλον γὰρ τὸ σήμερον πραττόμενον*[7]) *ἐπὶ διατυπώσει τῆς διαθήκης μεταξὺ τοῦ κληρονόμου καὶ τοῦ* testátoros *πράττεται. εἰ καὶ τὰ μάλιστα γὰρ συνεκέχυτο τὸ τοιοῦτο πάλαι νόμιμον*[8]) *καὶ πολλῆς ἐπεπλήρωτο ταραχῆς, ἡνίκα ἐκράτει τὸ τοῦ* familiémptoros. (*ἐπειδὴ κατὰ πρώτην ὄψιν αὐτὸς ἐνομίζετο κληρονόμος εἶναι, οὐκ ἠδύναντο οἱ κατὰ ὑπεξουσιότητα συναπτόμενοι τῷ* familiémptori *μαρτυρεῖν τῇ διαθήκῃ· οἱ δὲ τῷ κληρονόμῳ τῷ ἰδίᾳ γραφομένῳ καθάπερ*[9]) *προείρηται καθ' ὑπεξουσιότητα συνηνωμένοι καὶ αὐτὸς*

---

1) Ita sane scrib. L1. L2. M.: *βρετάνος βετράνος* L6.: *βετεράνος* Vi. R. *οὐετεράνος* F. 2) Ita libri: *καν*strénsion canstrénsion L1. L2. canistrínsion M. 3) dedi cum Vi. R.: at libri —*ος*. 4) dedi ex M.: L1. L2. F. = *πολέμῳ: τουτ. ὃ ἐκτ. ἐκ τῶν ἐν πολέμοις καμ.* Vi. R. 5) M.: *σωμεν* cet. 6) —*ῃ* Vi. R. 7) d. F. 8) *πάλ. τὸ τοι. ν.* L1. L2. L6. Vi. R. F1. 9) M.: cet. *καθὰ*.

a) Cf. schol. Basil.

ueteranum filium familias (ueteranus autem est qui stipendia meruit iamque militia dimissus est), cui de castrensi peculio testamentum condere licet, idest de eo quod militiae laboribus adsecutns est: honore enim adfecerunt eum constitutiones. igitur cum filius familias inuentus sit, qui iure testetur, reliqua dispiciamus, num ueterano filio familias testante de castrensi peculio, pater qui eum in potestate habeat aut frater qui in eiusdem potestate sit testimonium praestare possint? et magis est ut negemus, domesticum enim testimonium, quod prudentes uocant, non recte testamentis adhibetur. domesticum autem testimonium non ex cognatione set ex communi potestate intellegitur. nam licet ei constitutiones testari permiserint, quamuis alieni iuris sit, tamen iubent eum si teste-
10. tur, iuris non contemnere praecepta. 10. Testamentum quis dum conderet, me heredem instituit; nequeo testimonium praestare eiusmodi testamento, set nec qui meo iuri subiectus sit, nec pater qui me in potestate habeat, nec frater qui in eiusdem sit potestate. omne enim hoc negotium quod agitur testamenti ordinandi gratia, agitur hodie inter heredem et testatorem. licet enim olim totum hoc ius conturbatum fuisset et confusione repletum, cum adhuc familiae emptor adhiberetur (nam ipse prima facie heres esse uidebatur) qui per patriam potestatem familiae emptori erant coniuncti, testes esse nequibant. qui autem per patriam potestatem heredi coniuncti erant, qui, uti dictum est, propria

μέντοι ὁ κληρονόμος ἀκωλύτως ἐμαρτύρουν, τῆς ἀκριβείας οὐκ ἐναντιουμένης τῇ μαρτυρίᾳ διὰ τὸ δοκεῖν ὅλον φέρεσθαι τὸ κέρδος εἰς τὸν familiémptora, *τὸν δὲ ἰδίᾳ γραφόμενον κληρονόμον ἀγνοεῖσθαι), ἀλλ' ὅμως*[1]) *οἱ τοῦτο ἐπιτρέποντες ἀρχαῖοι καὶ μὴ κωλύοντες τὸν* scrípton[2]) *κληρονόμον μήτε τοὺς συναπτομένους αὐτῷ καθ' ὑπεξουσιότητα τῇ διαθήκῃ μαρτυρεῖν παρῄνουν χρῆναι τὸ μὴ τοὺς διατιθεμένους ἀποκεχρῆσθαι*[3]) *τῇ δεδομένῃ τοιαύτῃ παρρησίᾳ. καὶ ταῦτα μὲν παρὰ τοῖς παλαιοῖς· ὁ δὲ ἡμέτερος βασιλεὺς τὴν τοιαύτην διορθῶν ἀταξίαν (ἀταξία γὰρ ἐῴκει*[4]) *τὸ διδόναι μὲν παρρησίαν, παραινεῖν δὲ ταύτῃ μὴ κεχρῆσθαι) τὴν τῶν ἀρχαίων συμβουλὴν εἰς ἀνάγκην μετήγαγε νόμου· καὶ ὥςπερ ἐπὶ τοῦ παλαιοῦ* familiémptoros *ἐκεκώλυτο πᾶσα μαρτυρία τῶν συνηνωμένων τῷ* familiémptori *κατὰ ὑπεξουσιότητα, οὕτως καὶ ἐπὶ τοῦ κληρονόμου σῴζοντος εἰκόνα τοῦ παλαιοῦ* familiémptoros *οὔτε αὐτῷ μαρτυρεῖν, οὔτε τοῖς συναπτομένοις αὐτῷ καθ' ὑπεξουσιότητα συνεχώρησεν. δοκεῖ γὰρ εἰς οἰκεῖον κέρδος μαρτυρεῖν· καὶ ἐπειδὴ ἡ διάταξις τῶν παλαιοτέρων ἦν*[5]) *βασιλέων τῷ κληρονόμῳ μαρτυρεῖν ἐπιτρέπουσα*[6]), *τὴν τοιαύτην διάταξιν ἐκώλυσεν ὁ θειότατος ἡμῶν βασιλεὺς*[7]) *ἐγγραφῆναι ἐν οἰκείῳ* códici.

11. [a]) *Ληγαταρίοις δὲ καὶ* fideicommissaríois *ἐπειδὴ οὐκ ἀσω-* 11.
μάτου γίνονται διάδοχοι καὶ πᾶσι τοῖς συναπτομένοις αὐτοῖς[8]) *καθ' ὑπεξουσιότητα ἀκώλυτος ἡ μαρτυρία γενήσεται. ἀλλὰ καὶ*[9]) *διάταξις πρὸς τούτοις ἐστι γαληνοτάτου ἡμῶν βασιλέως ἰδικῶς ἐπιτρέπουσα τούτοις τὸ δύνασθαι ληγάτα καταλιμπάνειν τοῖς μέλλουσι μαρτυρεῖν τῇ διαθήκῃ καὶ πολλῷ πλέον τοῖς συνημμένοις*[10]) *αὐτοῖς καθ' ὑπεξουσιότητα.* 12. *Οὐ διαφέρομαι* 12.
δὲ[11]) *ἐν ποίᾳ γέγονε ὕλῃ ἡ διαθήκη, πότερον ἐν σανῖσιν ἢ ἐν χάρταις*[12]) *ἢ ἐν βεμβράνῃ*[13]) *ἢ ἐν ἑτέρᾳ ὕλῃ οἷον ἐν δέρματι*

---

1) *ἀλλὰ μὴν* Vi. R. 2) scr. M. L 1. 3) *χρ. τοὺς διατ. μὴ ἀπ.* Vi. R. 4) *—ία γ. ἐδόκει* L 6. Vi. R. 5) d. Vi. R. 6) *ἐπέτρεπε* Vi. R. 7) *μὴ* add. L 1. L 2. L 6. 8) *σὺν τοῖς* M. 9) d. Vi. R. 10) *συνηνωμένοις* Vi. R. 11) d. L 1. L 2. 12) *χάρτεσι* M. *—τῃ* L 1. L 2. 13) Ita libri: *μ—* ed. *αις* Vi. R.

a) Epa. 29, 14.

testatoris manu signabatur, et ipse heres sine impedimento testimonium praestabant, iuris suptilitate non aduersante, cum omne lucrum ad familiae emptorem pertinere uideretur, scriptus autem heres ignoraretur. set ueteres, qui id permittebant neque uetabant scriptum heredem et eos qui cum eo essent per potestatem coniuncti testimonium in testamentis praestare, suadebant testatores ne eiusmodi licentia abuterentur. et haec quidem apud ueteres. noster autem princeps eiusmodi iuris inelegantiam corrigens (inelegantia enim uidebatur licentiam tribuere, suadere autem ne usurparetur), quod ueteres suaserant in legis transtulit necessitatem. et sicut in pristino familiae emptore uetabatur omne testimonium eorum qui essent per potestatem familiae emptori coniuncti, ita etiam neque heredi, qui ueteris familiae emptoris imaginem praesefert, neque iis qui cum eo per potestatem coadunati sunt testimonium praestare concessit. et cum retro diuorum principum esset constitutio, quae heredi permitteret testimonium praestare, eiusmodi constitutionem princeps noster
11. suo codici inseri non permisit. 11. Legatariis autem et fideicommissariis cum iuris successores non sint et omnibus ipsis per potestatem coniunctis testimonium non denegatur. set etiam constitutio serenissimi principis nostri lata est, quae specialiter concessit legata iis relinquere qui in testamento testes adhibeantur et multo magis iis qui ipsis per potesta-
12. tem sunt coniuncti. 12. Nihil interest in qua materia factum sit testamentum, utrum in tabulis an in chartis an in membranis an in alia materia, ueluti pellibus seu eboreis pugillaribus.

ἢ ἐν ἐλεφαντίνοις πτυχίοις.[1]) 13. Δύναται δέ[2]) τις διατιθέμε- 13.
νος πολλὰς ἰσοτύπους[3]) γράφειν διαθήκας οὕτως μέντοι, ὥςτε
μίαν ἑκάστην αὐτῶν κατὰ τὴν κρατοῦσαν ἐν διαθήκαις παραφυ-
λακὴν περαιοῦσθαι. τοῦτο δὲ ἀναγκαῖόν ἐστι τὸ εἶναι πολλὰ
τῶν διαθηκῶν ἰσότυπα. ἐσθ' ὅτε γάρ τις μέλλων ἀποπλεῖν ἔχειν
μεθ' αὐτοῦ βούλεται τὴν διαθήκην καὶ ἑτέραν οἴκοι καταλιπεῖν,
ἐξ ἧς δείκνυται ἡ τοῦ τελευτήσαντος διάνοια. καὶ δι' ἄλλας
συμβαίνει πολλὰς αἰτίας ἀναγκαιότατον εἶναι τοῦτο, αἵτινες ἐξ
ἀνθρωπίνων συμβαίνουσι περιστάσεων, ἢ γὰρ ἐσθότε[4]) συμβαί-
νει κλαπῆναι τὸ ἓν ἰσότυπον ἢ καὶ τὸν λαβόντα ἐν παρακατα-
θήκῃ ὁδεῦσαι καὶ ἄδηλον εἶναι τὸν τόπον, ἐν ᾧ διατρίβει. 14. 14.
Ταῦτα δὲ πάντα περὶ τῶν ἐγγράφων νόει[5]) διαθηκῶν. εἰ δέ
τις ἄγραφον βούλεται ποιῆσαι διαθήκην (πολιτικὴν δηλονότι,
ἄγραφον γὰρ ὁ praétωr οὐκ ἐπίσταται διαθήκην, ὡς[6]) σφραγῖ-
δας ἀπαιτῶν ἀεὶ), εἰ τοίνυν παρόντων ἑπτὰ μαρτύρων τὴν
οἰκείαν γνώμην ἐπ' αὐτῶν φανερώσῃ, τελεία καὶ ἰσχυρὰ ἡ τοι-
αύτη κατὰ τὸ πολιτικὸν ἔσται διαθήκη.

De militari testamento.[7]) Titulus 11.

Ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν τίνα τρόπον δεῖ τυποῦσθαι τὴν διαθήκην. ἀλλ' ἐκείνη μὲν ἡ πολλῆς ἀκριβείας ἐχομένη παραφυλακὴ ἐν ταῖς παγανικαῖς χώραν ἔχει διαθήκαις, ἐπὶ δὲ τῶν στρατιωτικῶν διαθηκῶν ἅπας ὁ τοιοῦτος σχολάζει λόγος. συγκεχώρηται γὰρ αὐτοῖς ἐκ τῶν διατάξεων διὰ τὴν ἐν νόμοις ἀπειρίαν τὸ μὴ[8]) κατὰ ἀκρίβειαν διατίθεσθαι. ἀμέλει τοι εἰ καὶ ἑνὸς παρόντος μάρτυρος διαθῶνται, ἢ[9]) καὶ μὴ γράψωσιν οἰκείᾳ

---

1) πτύχοις M. 2) d. Vi. R. 3) —ως Vi. R. cod. Salm: cf. F[2]. p. 244n. 4) ἐσθ' ὅτε γὰρ Vi. R. 5) δεῖ νοεῖσθαι Vi. R. 6) M.: ὁ L[1]. L[2]. F.: πῶς γὰρ ὁ Vi. R. 7) περὶ στρατιωτικῆς διαθήκης add. libri. 8) d. M. L[1]. L[2].: τὸ παρὰ Vi. R. 9) εἰ M.: διατίθενται ἢ Vi. R.

13. 13. Potest autem testator plura eodem exemplo scribere testamenta, ita tamen ut singulum quodque secundum optinentem in testamentis obseruationem conficiatur. interdum autem necessarium est plura testamentorum exemplaria fieri. aliquando enim quis nauigaturus secum testamentum uult ferre, alterumque domi relinquere ad iudiciorum suorum contestationem. et propter alias complures causas, quae humanis necessitatibus imminent, necessarium id fit; interdum enim exemplar unum furto abripitur uel qui in depositum accepit peregre
14. iuit nec liquet ubi degat. 14. Haec omnia de scriptis testamentis intellegere oportet; si quis autem sine scriptis testamentum ordinare uoluerit (iure nempe ciuili; praetor enim utpote qui signa semper requirat sine scriptis testamentum non admittit), si praesentibus septem testibus propriam uoluntatem coram eis nuncupauerit, perfectum ualidumque ex iure ciuili eiusmodi testamentum erit.

De militari testamento. Titulus 11.

Superius proposuimus quomodo testamenta sint ordinanda. set tanta illa obseruatio suptilitatis plena in paganorum testamentis adhibetur, in militaribus autem testamentis omnis haec ratio est remissa. permissum est enim illis ex constitutionibus propter iuris imperitiam citra sollemnitatem testari. itaque si uel uno teste praesente testati sint, uel si heredis nomen propria manu non scripserint, eorum uo-

χειρὶ τὸ τοῦ κληρονόμου ὄνομα, ἡ αὐτῶν ἔρρωται βούλησις. ἠσχολημένοι γὰρ περὶ τὴν στρατείαν εἰκότως ἀγνοοῦσιν ἀκριβείας ἁπάσης παρατήρησιν. ἀλλὰ πάλαι μὲν ὁπουδήποτε διάγοντες στρατιωτικῶς ἠδύναντο διατίθεσθαι· διάταξις δὲ τοῦ ἡμετέρου βασιλέως τότε συνεχώρησεν αὐτοῖς τοῦτο πράττειν, ἡνίκα ἐν κάστροις ἤτοι[1] *ἐν τῷ* expedítῳ *διάγωσιν· ὁπωςδήποτε γὰρ ἡ βούλησις αὐτῶν ἐγγράφως ἢ ἀγράφως διατυπωθεῖσα*[2] *τὸ ἰσχυρὸν ἐχέτω ἐν ἑαυτῇ. ἐν οἷς δὲ χρόνοις ἐν ἑτέροις διατρίβωσι τόποις ἢ ἐν τοῖς λεγομένοις αὐτῶν* sedétois[3], *τῶν στρατιωτικῶν ἐν τῷ διατίθεσθαι προνομιῶν οὐκ ἀπολαύσουσι. καὶ ὑπεξούσιοι δὲ ὄντες ἀκωλύτως διατίθενται πανταχοῦ μέντοι τὴν ἀκρίβειαν παραφυλάττοντες ἐν ᾧ τῶν κάστρων εἰσὶν ἐκτός.*

1. *Οὐκ ἄτοπον δὲ εἰς μέσον ἀγαγεῖν καὶ ἃ*[4] Traiánῳ *τῷ βα-* I.
σιλεῖ[5] *περὶ στρατιωτικῆς εἴρηται διαθήκης ἐπὶ θέματος τοιούτου. στρατιώτης τις συγκαλεσάμενός τινας ἐπὶ αὐτῶν εἶπε τόνδε*[6] *βούλεσθαι κληρονόμον αὐτοῦ*[7] *γενέσθαι τὸν δὲ οἰκέτην αὐτοῦ*[8] *ἐλευθερωθῆναι. ἀγράφως δὲ ταῦτα ἐπράττετο. ζήτησις μετὰ τὴν αὐτοῦ τελευτὴν μεταξὺ τῶν ἐξ ἀδιαθέτου καὶ τοῦ ὀνομασθέντος κληρονόμου ἀνεφύη. καὶ οἱ μὲν ἐξ ἀδιαθέτου ἔλεγον τὰ παρὰ τοῦ τελευτήσαντος εἰρημένα οὐχ ὡς ἐπὶ ἐννοίᾳ διαθήκης εἰρῆσθαι, ὁ δὲ κληρονόμος προεβάλλετο*[9] *τὸ στρατιωτικὸν προνόμιον ἐκεῖθεν τὴν διαθήκην βεβαιῶν. Στατίλιος*[10] *δὲ Σεβῆρος τῆς τοιαύτης ἀκροώμενος ἀμφιβολίας ἐπὶ* Traianòn *ἀνήγαγε τὸν θειότατον. ὁ δὲ ἀντέγραψε ταῦτα· τὸ στρατιωτικὸν προνόμιον τὸ λέγον τὰς ὁπωςδήποτε γινομένας ὑπὸ τῶν στρατιωτῶν διαθήκας βεβαίας εἶναι οὕτως νοεῖσθαι χρή, ὥςτε κατὰ προτέραν τάξιν πρόδηλον εἶναι τὸ γεγενῆσθαι*[11] *διαθήκην, εἴτε ἔγγραφον εἴτε ἄγραφον. ὁ τοίνυν τελευτήσας στρατιώτης, οὗ ὑπερ τῆς οὐσίας κεκίνηται*[12] *ζήτησις,*

---

1) *ἢ* Vi. R. 2) *ἢ* Vi. R. add. 3) scripsi ex M. L1. L2.: Beschreib. f. 6a. 4) *τὰ* M. L1. L2. L6.: *παραγαγεῖν* paullo ante L6. 5) ad. Vi. R.: *εἰρημένα* mox L6. 6) *ἢ τόνδε* ad. Vi. R. 7) M.: —*τῷ* L1. L2. F.: *κληρ. εἶναι* Vi. R. 8) d. L6. Vi. R. 9) Ita libri: ed. —*λ*—. 10) *στατήλιος* M. 11) *γενέσθαι* L1. L2. 12) *κινεῖται* Vi. R.

luntas seruetur. militiae enim operam dantes merito omnis iuris suptilitatis obseruationem ignorant. set olim quidem ubicumque degerent, poterant iure militari testamentum perficere; constitutio autem principis nostri tum demum illis id facere concessit, cum in castris uel in expeditionibus sint occupati. quoquo enim modo eorum uoluntas siue scriptis siue sine scriptura sit expressa, uigorem habeat. illis autem temporibus, per quae in aliis locis uel in suis, quas uocant, sedibus degant, militaribus priuilegiis in testando nullomodo fruentur. et si filiifamilias sint libere prorsus ubique testabuntur, iuris scilicet obseruatione adhibita si extra castra
1. degant. 1. Non erit absurdum ea quoque huc adferre, quae a Traiano de militari testamento statuta sunt in eiusmodi casu. quidam miles cum aliquos conuocasset dixit coram iis illum sibi heredem esse uelle, illumque seruum manumitti. haec sine scriptis facta sunt. post uero eius mortem controuersia orta est inter eos, qui ab intestato ueniebant, illumque, qui heres est nuncupatus. et qui ueniebant ab intestato negabant quae a defuncto dicta essent, animo testandi esse dicta; heres autem militum priuilegium praeseferebat, iuxta quod testamentum ratum esset habendum. Statilius autem Seuerus eiusmodi controuersiam cum audisset, ad diuum Traianum rettulit, qui haec rescripsit: militare priuilegium, ex quo militum testamenta quomodocumque facta rata sint, sic intellegi debet, ut utique prius constare debeat testamentum factum esse, siue in scriptis siue sine scriptura. is ergo miles defunctus, de cuius bonis quaeritur, si conuocatis ad

εἰ συγκαλεσάμενός τινας ἐπὶ τούτῳ, ὥςτε τὴν ἑαυτοῦ[1]*) γνώμην ἐπὶ μαρτύρων δηλῶσαι, σαφῶς παρέστησε τίνα βούλεται αὐτῷ εἶναι*[2]*) κληρονόμον καὶ τίνα τῶν*[3]*) οἰκετῶν ἐλευθερίας*[4]*) ἠξίωσεν, ἄγραφον ἰσχυρὰν τὴν τοιαύτην καλοῦμεν διαθήκην. εἰ δὲ ὥςπερ τὸ πλεῖστον ἐν ὁμιλίαις εἴωθε*[5]*) συμβαίνειν, παρόντων τινῶν ἀποτεινόμενος πρός τινα εἶπεν· ἐγώ σε κληρονόμον ποιῶ ἢ τὰ ἐμὰ πράγματά σοι καταλιμπάνω, οὐ χρὴ τοῦτο διαθήκης ἔχειν δύναμιν· ἐπ' οὐδενὸς γὰρ μάλιστα τοῦτο χρὴ σκοπεῖσθαι, ἥπερ*[6]*) ἐπὶ στρατιωτῶν, οἷς ἐν προνομίῳ δέδοται τὸ ὅπως βούλονται διατίθεσθαι, ὥςτε τὰ ἐν ὁμιλίαις λεγόμενα εἰς τύπον διαθήκης μὴ ἀναφέρεσθαι. ἐπεί τοι γε πάσης δυσκολίας ἐκτὸς μετὰ τελευτὴν παντὸς στρατιώτου*[7]*) ἀναφανήσονται μάρτυρες διαβεβαιούμενοι ἑαυτοὺς ἀκηκοέναι, ὅτι ὁ δεῖνα ὁ τελευτήσας εἶπε τῷδε, ὅτι*[8]*) καταλιμπάνω σοι τὰ ἐμὰ πράγματα καὶ ἐκ τούτου αἱ ἀληθεῖς ἀνατραπήσονται τῶν στρατιωτῶν βουλήσεις.* 2. *Στρατιώτης εἴτε ἄλαλος εἴη εἴτε κωφὸς* 2.
ἰσχυρῶς διατίθεται. ὑπόθου δὲ αὐτὸν μὴ[9]*) ἐκβληθέντα τῆς στρατείας* causaria missione*· ἄτοπον γάρ ἐστι*[10]*) τὸν τοιοῦτον στρατεύεσθαι. ὁ μὲν γὰρ οὐκ ἀκούει τῶν τοῦ στρατηγοῦ παραγγελμάτων, ὁ δὲ ἐάν τινος ἀναγκαίου δεῖται οἷον ὅπλου οὐ δύναται τοῦτο δηλῶσαι.* 3. *Μέχρι δὲ τοσούτου ἐκ τῶν βασιλικῶν* 3.
διατάξεων συγκεχώρηται τοῖς στρατιώταις τὸ διατίθεσθαι παρὰ τὴν ἀκρίβειαν, ἐφ' ὅσον καὶ στρατεύονται[11]*) καὶ διατρίβουσιν ἐν κάστροις· μετὰ δὲ τὴν ἄφεσιν τουτέστιν ἡνίκα γένονται* uetránoi *ἢ*[12]*) τῶν κάστρων εἰσὶν ἐκτός, εἰ καὶ ἔτι στρατεύονται τὴν τῶν παγανῶν ἀκρίβειαν ὀφείλουσι φυλάττειν*[13]*) ἐπειδὴ δὲ εἰρήκαμεν τοὺς μὲν στρατιώτας ἐν κάστροις διατιθεμένους ἀκινδύνως τῆς ἀκριβείας καταφρονεῖν, τοὺς δὲ* uetránus *τὴν ἀκρί-*

---

1) *οἰκείαν* Vi. R. 2) *βούλ. ἔχειν.* Vi. R. 3) d. L². F². 4) *—ρῶσαι* Vi. R. 5) *εἰώθασι* M. 6) ita R: cet *εἴπερ.* 7) ita libri: ed. *στρ. παντ.* 8) *ἐῶ σε κληρονόμον ἢ ὅτι* ad. Vi. R. 9) *μὴ* add. L⁶. Vi. R. [cf. notam huius I 352]. 10) d. Vi. F¹. R. 11) *μέχρις οὗ ἂν στρατεύωνται καὶ δ—ωσιν* Vi. R. 12) d. M. *τῶν κάστρ. εἰσ. ἢ ἐκτ.* F². 13) *φυλ. ὀφ.* L⁶.

hoc quibusdam, ut uoluntatem suam coram testibus manifestaret, declarauit quem sibi uellet esse heredem et cuinam seruo libertatem tribuere, ratum eiusmodi testamentum dicimus. si uero, ut plerumque fit in sermonibus, quibusdam praesentibus dixit alicui in eum conuersus: »ego te heredem facio« uel »bona mea tibi relinquo«, non oportet hoc pro testamento obseruari. in nemine autem id potius inquirendum est, quam in militibus, quibus id priuilegii datum est ut quolibet modo possint testari, ne quae sermonis gratia dicta sunt ad testamenti formam referantur. alioquin non difficulter post alicuius militis mortem testes existerent qui assererent sese audisse illum morientem dixisse: relinquo te heredem uel bona mea tibi relinquo et per hoc uera militum

2. iudicia subuerterentur. 2. Miles siue mutus sit siue surdus ualide testatur; finge uero eum causaria missione militia nondum dimissum, absurdum est enim eiusmodi hominem stipendia merere. nequit enim imperatoris iussum percipere, nec si aliqua re necessaria ueluti telo indigeat, id significare po-

3. test. 3. Hactenus uero a principalibus constitutionibus conceditur militibus citra sollemnitatem testari, quatenus militant et in castris degunt. post missionem autem, idest cum ueterani facti sint, uel extra castra, licet adhuc militant, paganorum sollemnitatem seruare debent. cum iam dixerimus milites in castris testantes sine periculo iuris sollemnitatem praetermittere, ueteranis autem eandem esse seruandam, ad-

βειαν ὀφείλειν παραφυλάττειν, ὅρα τὸ ἐντεῦθεν ζητηθὲν, ὅπερ μετέχει[1]) *στρατιώτου καὶ* uetránu. *στρατιώτης ἐν κάστροις διάγων καθ' ὃν ἠβουλήθη διέθετο τρόπον, ἀφείθη τῆς στρατείας καὶ*[2]) *ἐτελεύτησεν. σκοπῶμεν*[3]) *εἰ δεῖ κρατεῖν αὐτοῦ τὴν βούλησιν. καὶ εἰ μέν τις ἐξετάσῃ τὸν χρόνον, ἐν ᾧ γέγονεν*[4]), *ἐρρώσθω*[5]) *καὶ παρὰ τὴν ἀκρίβειαν. εἰ δὲ τὸν καιρὸν, ἐν ᾧ ἐτελεύτησε*[6]), *τὴν μὲν γενομένην κατὰ ἀκρίβειαν ἰσχύειν οὐ δεῖ. τί οὖν; ὁ χρόνος τέμνει τὴν ἀμφισβήτησιν.*[7]) *εἰ μὲν εἴσω ἐνιαυτοῦ μετὰ τὴν ἄφεσιν ἐτελεύτησε τυχὸν τῷ δεκάτῳ ἢ τῷ ἐνδεκάτῳ μηνὶ στρατιωτικὴν ἔτι ταύτην ἀποκαλῶν τὸ ἰσχυρὸν αὐτῇ δίδωμι. εἰ δὲ μετὰ τὴν ἄφεσιν, ἐνιαυτοῦ παραδραμόντος, μηκέτι ἐρρώσθω· ἱκανὸς γὰρ ἦν ὁ μεταξὺ χρόνος ἐκπαιδεῦσαι αὐτὸν τὴν ὀφείλουσαν παραφυλάττεσθαι περὶ τὰς διηθήκας ἀκρίβειαν, ὥςτε αὐτὸν τὴν ἑαυτοῦ διαθήκην ἀμείψαντα οὕτω διατίθεσθαι. τί δὲ εἰ διέθετο μέν τις στρατιωτικῶς ἐνεστήσατο δὲ κληρονόμον ὑπὸ αἵρεσιν, ἐτελεύτησε δὲ εἴσω ἐνιαυτοῦ μετὰ τὴν ἄφεσιν, ἡ δὲ τῆς ἐνστάσεως αἵρεσις μετὰ τὸν ἐνιαυτὸν ἐξῆλθεν; σκοπῶμεν εἰ βλάπτει τοῦτο τὴν διαθήκην. καὶ λέγομεν ὅτι οὐδαμῶς· τὴν γὰρ τελευτὴν ἀπαιτοῦμεν εἴσω ἐνιαυτοῦ γενέσθαι μετὰ τὴν ἄφεσιν οὐ μὴν τὸ γενέσθαι τὴν* aditíona.

4. *Παγανός τις ὢν διέθετο παρὰ τὴν ἀκρίβειαν· ἐστρατεύσατο* 4.
μετὰ ταῦτα. διάγων ἐν κάστροις ἀποσφραγίσας τὴν διαθήκην τινὰ προςτέθεικεν ἢ καὶ[8]) *περιεῖλεν ἢ καὶ μόνον ἀνέγνω τὴν διαθήκην ἢ ἔπραξέ τι ἕτερον ἐξ οὗ ἐδείκνυτο ἡ τοῦ στρατιώτου βούλησις βουλομένου*[9]) *ταύτην ἰσχύειν· ἐτελεύτησε μετὰ ταῦτα·*[10]) *ἰσχύει καὶ παρὰ τὴν ἀκρίβειαν ἡ διαθήκη ὡς ἀπὸ καινοτέρας αὐτοῦ βουλήσεως ἣν διάγων ἐν τοῖς κάστροις ἔσχεν ἐπὶ τῇ διαθήκῃ.*

5. *Στρατιώτης διάγων ἐν κάστροις διέθετο* 5.
παρὰ τὴν ἀκρίβειαν· ὑπέστη μετὰ ταῦτα capitis deminutíona· *ἢ γὰρ αὐτεξούσιος ὢν δέδωκεν ἑαυτὸν εἰς* adrogatíona *ἢ ὑπεξούσιος ὢν γέγονεν* emancípatos. *μενέτω ἡ διαθήκη ἐπὶ τῆς*

1) *μεταξὺ στρ. καὶ β. ἐστι* Vi. R. 2) d. Vi. F[1]. 3) *—οῦμεν* Vi. F[1]. 4) *ἡ διαθήκη* ad. Vi. R. 5) *ἐρρῶσθαί φημι* ad. Vi. R.: *—σθαι . . φήσει* L[6]. 6) *—λεύτα* cj. R.: mox: *γεγονυῖαν* L[6]. 7) *καὶ* ad. Vi. R. 8) d. Vi. R. 9) *δὴ* add. Vi. R., qui *δηλαδὴ* cj. 10) *ἡ διαθήκη* h. l. L[6].

monendus es aliquid inde quaesitum fuisse, quod et ad militem et ad ueteranum quodammodo pertinet. miles in castris degens quo libuit modo testatus est; dimissus est a militia et uita decessit. dispiciamus an eius uoluntas rata sit. et si quis tempus inquirat quo conditum est testamentum, uidebitur citra sollemnitatem ualere; sin autem tempus quo uita decessit testator, quod citra sollemnitatem conditum est testamentum ratum esse non uidebitur. quid ergo est? tempus controuersiam dirimit. si quidem intra annum post missionem decessit, decimo forte uel undecimo mense nec militare testamentum suum reuocauit, id pro rato habendum est; sin autem post missionem anno decurso, non amplius ualebit. sufficiens enim medium tempus erat ad sollemnem in testamentis obseruationem perdiscendam, ut, mutato testamento, ita postremam confirmaret uoluntatem. quid igitur si quis militari ritu testatus sit, heredem uero sub condicione instituerit; mortuus sit autem intra annum post missionem, at condicio institutionis post annum extiterit? dispiciamus an ideo testamentum inritum fiat? et magis est ut negemus: mortem enim intra annum post missionem fieri requirimus,
4. non etiam aditionem. 4. Paganus quidam testamentum citra sollemnitatem fecit, deinde stipendia meruit. in castris cum degeret, resignauit testamentum et quaedam adiecit siue detraxit, uel tantummodo id legit, uel aliud quid fecit, quo patuerit militis uoluntas hoc ualere uolentis, deinde mortuus est. ualebit testamentum quasi ex noua eius uoluntate, quam
5. in castris habuit circa testamentum. 5. Miles in castris degens non iure testatus est; deinde capitis deminutionem est passus, nam uel cum sui iuris esset sese adrogandum dedit, uel cum filiusfamilias esset, emancipatus est. testamentum

οἰκείας οὐδὲν ἧττον ἰσχύος ὡς καινοτέρας ἐντυχήσασα[1]) *γνώμης τοῦ στρατιώτου μετὰ τὴν* **emancipatíona**· *ἐν ᾧ γὰρ οὐκ ἤμειψεν αὐτὴν τὸ βέβαιον ἔχειν αὐτὴν ἠβουλήθη, οὐδὲ ἡ* **capitis deminutíωn ínriton** *ποιεῖ τὴν διαθήκην, ἐπειδὴ*[2]) *στρατιώτης ὁ διατιθέμενος. ἐπείτοι γε, ὡς προϊόντες μαθησόμεθα, ἡ τοῦ* **testátoros cápitis deminutíωn** *ἀνατρέπει τὴν διαθήκην, ἐνταῦθα δὲ οὐ παραφυλάττεται ταῦτα. ἄτοπον γὰρ τὴν μὴ κατὰ κανόνας*[3]) *γενομένην διαθήκην, ἰσχύουσαν δὲ, ταύτην ὑπὸ τῶν πολιτικῶν ἀναιρεῖσθαι κανόνων.* 6. [a]) *Εἰσί τινες*[4]) *ὑπεξούσιοι οἱ* 6.
canstrénsia *μὲν οὐκ ἔχουσι* **pecúlia**[5]), **quasi**[6]) *δὲ* **canstrénsia**[7]) *ἐκ τῶν παλαιοτέρων νόμων ἢ ἐκ τῶν μεταγενεστέρων διατάξεων ἔχουσιν, ὁποῖά*[8]) *ἐστι τὰ ἀπὸ συνεδρίας ἢ τὰ ἀπὸ συνηγορίας ἢ τὰ ἀπὸ ἀρχῆς τουτέστι τῶν ἀννονῶν ἐκ τοῦ δημοσίου παρεχομένων αὐτοῖς.*[9]) *καὶ τούτοις μὲν*[10]) *ἐπιτέτραπται ἐν ὑπεξιότητι διατίθεσθαι· ἀλλ' ἐπειδὴ μικρά τις ἦν ἐπ' αὐτοῖς ἀμφιβολία*[11]), *γέγονε γενικὴ τοῦ ἡμετέρου βασιλέως διάταξις λέγουσα πάντα ὑπεξούσιον* **quasi canstrénsion**[12]) *ἔχοντα* **pecúlion** *ἐπ' αὐτῷ*[13]) *κοινῷ νόμῳ*[14]) *δύνασθαι διατίθεσθαι. τὴν εἰρημένην*[15]) *διάταξιν ἀναγνοὺς οὐδὲν ἀγνοήσει τῶν εἰς τοῦτο φερόντων.*

---

1) *—έραν ἐντ. γ—ην* F. cum libris: Vi. *μὴ καιν. εὐτ. γνώμης*, set in Em. '*ὡς καιν. ἐντ. γνώμην.*' R.: *—ρας εὐτ. γ—ης.* De ceteris uide sis R. 1, 255. 2) *ἐστι* ad. Vi R. 3) M.: *τὴν μὲν μὴ* L^1. L^2. F.: *τὴν μὴ κατὰ νόμους* Vi. R. 4) *οἱ* add. *Π.* 5) *καστρένσιον —λιον* Vi. R. 6) *ὡσανεὶ Π.* 7) *—ιον* Vi. R. 8) *οἷα* Vi. R. 9) *—τῷ Π.* 10) d. *Π.* Vi. R. 11) *ἀμφ. ἐπ' αὐτ. Π.* L^6. 12) *ὡσανεὶ καστρένσια πεκ. ἔχοντα Π.*: *διατ. νόμῳ* L^6. 13) *—τοῖς Π.* 14) *νομίμῳ δύν. διατ. Π.* 15) *οὖν* ad. Vi. R.

a) Tract. de Peculiis c. 8. (Heimb. *'Αν.* II 258).

---

nihilominus ratum manebit, utpote nouam quandam nactum militis uoluntatem post emancipationem. nam cum id non mutasset, ratum id esse uoluit, neque capitis deminutio inritum testamentum facit, cum miles testator sit, nam, sicuti inferius proponemus, testatoris capitis deminutio testamentum inritat; in hoc autem casu id non obseruatur. absurdum est enim testamentum quidem ualidum, non autem iure factum,
6. iuris regulis inritum fieri. 6. Sunt filiifamilias qui castrensia quidem peculia non habent, quasi autem castrensia ex anterioribus legibus uel ex posterioribus constitutionibus habent, ueluti quae ex consilio uel aduocatione uel magistratu, idest ex annonis publicis, ipsis praestantur. et iis quidem concessum est etiam in potestate degentibus testari. set cum aliqua dubitatio de iis orta esset, lata est generalis principis nostri constitutio, qua sancitum est omnem filiumfamilias castrensem habentem peculium iure communi posse testari. qui praedictam legat constitutionem nihil eorum quae ad eiusmodi ius pertinent ignorabit.

Quibus non est permissum testamentum facere.[1]
Titulus 12.

Τῶν ἀνθρώπων οἱ μὲν διατίθενται, οἱ δὲ οὐ διατίθενται. καὶ εἴπωμεν[2] περὶ τῶν διατίθεσθαι δυναμένων[3]· ἀλλ' ἐπειδὴ πολλοὶ τὸν ἀριθμόν εἰσιν, εἴπωμεν περὶ τῶν μὴ δυναμένων διατίθεσθαι ὀλίγων ὄντων ἵνα ἐκ τούτων μάθωμεν τοὺς πολλούς.[a] κατὰ πρώτην τάξιν οὐ δύναται διατίθεσθαι ὁ ὑπεξούσιος, ἐπειδὴ διαθήκη ἐστὶ τῶν ὄντων διατύπωσις· ὑπεξούσιος δὲ οὐ δύναται ὡς βούλεται τὰ οἰκεῖα διατυποῦν· ἐπὶ τοσοῦτον δὲ[4] κεκώλυται διατίθεσθαι, ὅτι εἰ καὶ ἐγὼ ὁ πατὴρ, οἷα φιλεῖ γίνεσθαι, θεραπεύων αὐτὸν ἐπιτρέψω αὐτῷ εἰς ὅσον βούλεται μέρος τῆς ἐμῆς διαθέσθαι περιουσίας, οὐκ ἔρρωται τὸ παρ' αὐτοῦ γενόμενον· οὐ δεῖ γὰρ ἰδιώτου γνώμην ἰσχυροτέραν εἶναι τῶν νόμων. εἰσὶ δὲ οἵτινες ἐν ὑπεξουσιότητι διατίθενται, οἷον οἱ ἔχοντες canstrénsion pecúlion. τοῦτο δὲ τὴν ἀρχὴν μόνοις ἐπετράπη στρατιώταις ἐξ αὐθεντίας τοῦτο μὲν Αὐγούστου, τοῦτο δὲ Nérua[5], οὐ μὴν ἀλλὰ καὶ τοῦ ἀρίστου βασιλέως Traianû. μετὰ δὲ ταῦτα διάταξις Adrianû δυσφοροῦσι τοῖς uetránois καὶ αὐτοῖς ἐπέτρεψε[6] τὸ διατίθεσθαι ἐν ὑπεξουσιότητι. καὶ εἰ μὲν διάθωνται πάντες οἱ εἰρημένοι εἰς τὸ canstrénsion pecúlion, λήψεται τοῦτο ὁ παρ' αὐτῶν γραφεὶς κληρονόμος, εἰ δὲ ἀδιάθετοι τελευτήσωσι μήτε παῖδας ἔχοντες μήτε μὴν ἀδελφοὺς ὑπόντας κοινῷ δικαίῳ ὡς οἱονδήποτε παγανικὸν pecúlion ἐπὶ τοὺς γονεῖς ἔρχεται.[7] ἡνίκα γάρ τις μὴ χρήσηται τῇ φιλοτιμηθείσῃ αὐτῷ καινοτομίᾳ, τοῖς παλαιοῖς χώρα νομίμοις.[8] πάλαι δὲ παντοῖον pecúlion τελευτήσαντος τοῦ παιδὸς ὁ πατὴρ ἐλάμβανεν. πολλαὶ διαφοραὶ παγανικοῦ καὶ canstrensíu pecu-

---

1) τίσιν οὐ συγχωρεῖται διαθήκας ποιεῖν M. L^1. L^2. τίνες οὐ συγχωροῦνται δ. π. ed. ant. F. L^6. F. R. 2) εἴπομεν ἂν cj. R. cum Gauel. 3) δυν. διατ. L^6. Vi. R. 4) ἀλλ' ἐπὶ τοσ. Vi. R. 5) ita M.: νερούα L^1. L^2.: Νέρουαι F.: Νέρουα Vi. R. 6) γὰρ ad. Vi. R. 7) ἔρχεσθαι Vi. F^1. 8) νόμοις Vi. R.

a) Epa. 30, 1 sq. Proch. 22, 1 sq.

Quibus non est permissum testamentum facere. Titulus 12.

Quidam homines testantur, quidam autem non. et dicendum est de iis qui testari possunt: set cum ii plures sint, dispiciamus prius de iis qui testari nequeant, qui et pauci sunt, ut inde ceteros noscamus. et in primis nequit testari filiusfamilias, nam testamentum est bonorum dispositio quaedam; filiusfamilias autem nequit, prout uult, sua bona disponere, set adeo testari prohibetur ut si ego pater suus, sicut fieri solet, eum diligens permittam ei, sicut uelit, de bonorum meorum parte testari, non ualeat quod ab eo factum sit. non debet enim priuati hominis uoluntas iure potior esse. sunt qui licet alieno iuri subiecti sint, testari possint, ueluti qui castrense peculium habent. id autem ab initio militantibus tantum concessum est tam ex auctoritate Augusti, quam Neruae, necnon optimi imperatoris Traiani. postea uero constitutio Hadriani etiam ueteranis id aegre ferentibus filiisfamilias testari concessit. et si fecerint omnes eiusmodi personae de castrensi peculio testamentum, id ab iis scriptus heres accipiet; sin autem intestati decesserint, neque liberos habentes neque fratres superstites, iure communi, sicuti quodlibet paganorum peculium, ad eorum parentes pertinebit. cum enim quis legum nouarum beneficio minime utatur, ueteri iuri locus erit. olim quidem omne peculium, mortuo filio, patri quaerebatur. plures differentiae sunt inter paga-

líu. καὶ πρώτη μὲν αὕτη ὅτι εἰς μὲν τὸ canstrénsion ὁ ὑπεξούσιος διατίθεται[1]), εἰς δὲ τὸ παγανικὸν οὐ δύναται.[2]) δευτέρα[3]) διαφορά· ἀγανακτήσας πατὴρ κατὰ τοῦ ὑπεξουσίου[a]) τὸ μὲν παγανικὸν ademptеúein[4]) δύναται pecúlion, τὸ δὲ canstrénsion[5]) οὐκέτι. τρίτη διαφορά· ἐὰν πολλοῖς ἐποφείλων τις ὑποστῇ διάπρασιν ὑπὸ τῶν ἑαυτοῦ creditórων[6]), τὸ μὲν παγανικὸν συνδιαπιπράσκεται[7]) pecúlion, τὸ δὲ castrénsion οὐδαμῶς. ἐστὶ καὶ τετάρτη διαφορά. ἐὰν πολλῶν ὄντων παίδων, ὁ πατὴρ τελευτήσῃ, συμβῇ δὲ ἕνα ἐξ αὐτῶν[8]) ἔχειν παγανικὸν[9]) pecúlion καὶ canstrénsion, τὸ μὲν παγανικὸν κοινόν ἐστι πάντων τῶν παίδων τῶν ποτε ὑπεξουσίων[10]) τὸ δὲ canstrénsion μόνον τοῦ κτησαμένου, καίτοι πάντα τὰ τῶν ὑπεξουσίων παίδων pecúlia μέρος εἶναι νομίζονται τῆς πατρῴας[11]) περιουσίας, ὥςπερ καὶ τὰ[12]) τῶν οἰκετῶν pecúlia συναριθμεῖται τῇ δεσποτικῇ περιουσίᾳ. τὰ δὲ εἰρημένα περὶ τῶν canstrensίων νόει καὶ ἐπ' ἐκείνων τῶν μὴ προςποριζομένων[13]) ἐκ τῶν διατάξεων κατὰ διαφόρους αἰτίας. δίχα τοίνυν τοῦ ἔχοντος canstrénsion ἢ quasi canstrénsion pecúlion,[b]) ἐάν τις ὑπεξούσιος ὢν διάθηται, ἄχρηστός ἐστιν[14]) ἡ τούτου διαθήκη, εἰ καὶ γενόμενος αὐτεξούσιος ἐτελεύτησεν. σκοποῦμεν γὰρ ἀεὶ τὸν καιρὸν τῆς τελευτῆς, ἀλλὰ καὶ τὸν τῆς ποιήσεως τῆς διαθήκης, εἰ ἐν ἑκατέρῳ χρόνῳ παρρησίαν εἶχε τοῦ διατίθεσθαι. 1. Ἐν δευτέρᾳ 1.
τάξει οὐ δύνανται διατίθεσθαι οἱ ἄνηβοι. οἶδας γὰρ ὅτι testamentum λέγεται testatio mentis[15])· [c]) ἐστέρηται δὲ διανοίας ὁ ἄνηβος. οὐ διατίθενται οὐδὲ[16]) οἱ μαινόμενοι ἐπειδὴ χηρεύουσι

---

1) *δύναται διατίθεσθαι* Vi. F[1]. R. 2) An legendum '*διατίθεται*'.? 3) *δὲ* ad. Vi. R. 4) *ἀφαιρεῖσθαι* Epi. Epa.: *τουτέστιν* [*ἤτοι* L[6].] *ἀφαιρ.* ad. libri. ed. 5) *ἰδιόκτητον* Epi. Epa. 6) *δανειστῶν* Epi. Epa. 7) *τὸ μὲν τοῦ παιδὸς συνδ. τουτ. τὸ παγανικὸν* Vi. R. *τὸ μὲν παγ. τοῦ παιδὸς* Epi. Epa. 8) *ἐξ αὐτ. ἕνα.* Vi. R 9) *παγ. ἔχειν* Epi. 10) *πάντων τῶν ποτ. ὑπεξ.* F[1]. *πάντων τῶν ἀδελφῶν* Vi. R. *τῶν ποτε παίδων ὑπεξουσίων* Epa. 11) *ἐκείνων* L[6]. 12) d. M. 13) *τῷ πατρὶ* Vi. R. 14) d. L[1]. L[2]. 15) *ἤτοι μαρτυρία διανοίας* add. Vi. R. 16) d. L[6]. F[2].

a) Cf. Epi. 29, 32 sq. Epa. 31, 1 sq. b) Epa. 30, 2 sq. c) Cf. Epa. 30, 3 – 4.

norum et castrense peculium. et prima uero haec est, quod de castrensi peculio filiusfamilias testatur, de pagano autem non utique. secunda differentia eiusmodi est: iratus pater contra filiumfamilias peculium ciuile adimere potest, non autem castrense. tertia differentia est quod si quis a pluribus aes alienum contraxerit et bonorum sustineat a creditoribus uenditionem, ciuile peculium simul uenum it, castrense non item. est et quarta differentia: si pluribus liberis superstitibus, pater moriatur, habeat autem aliquis ex iis ciuile et castrense peculium, ciuile omnium liberorum, qui quondam fuerint in potestate, commune erit, castrense eius tantum, qui adquisiuerit; quamquam omnia filiorumfamilias peculia perinde portio paternae hereditatis esse uideantur, atque seruorum peculia in bonis dominorum numerantur. quae de castrensibus peculiis dicta sunt et de illis intellegenda sunt, quae ex constitutionibus propter diuersas causas patri non adquiruntur. praeter eum igitur qui castrense uel quasi castrense habet peculium, si quis alius filiusfamilias testamentum fecerit, id inutile est, licet sui iuris factus decesserit. respicimus enim semper tempus mortis, set illud etiam, quo conditum est testamentum, an utroque tempore testandi quis habuerit faculta-
1. tem. 1. Praeterea nequeunt testari impuberes. scis enim testamentum mentis dici testationem: iudicio autem impubes caret. neque furiosi testantur quia mente carent. itaque neque impubes neque furiosus testantur, cum alter iudicium nondum sit

λογισμοῦ· ὥςτε οὖν οὔτε ἄνηβος οὔτε μαινόμενος διατίθενται,[1]) *ἐπειδὴ τὸ φρονεῖν τῷ μὲν οὐ προςγέγονε, τὸν*[2]) *δὲ ἀπολέλοιπεν.*[3]) *ἀνίσχυρος δὲ αὐτῶν ἡ διαθήκη, εἰ καὶ τὰ μάλιστα ὁ μὲν γενόμενος ἔφηβος ἐτελεύτησεν, ὁ δὲ ἀνανήψας. εἰ δὲ ὁ μαινόμενος κατ' ἐκεῖνον διάθηται τὸν καιρὸν, ἐν ᾧ παύεται τοῦ μαίνεσθαι, τουτέστιν ἐν τοῖς διαλείμμασι, ζητεῖται εἰ κρατεῖ. καὶ λέγομεν ἔννομον εἶναι τὴν διαθήκην· τί δὲ, ὅτι διαθέμενός τις ἐμάνη; τὸ μετὰ ταῦτα πάθος ἐπιγινόμενον τῆς μανίας τὴν ὀρθῶς διατυπωθεῖσαν οὐκ ἀνατρέπει διαθήκην, ὥςπερ οὐδ' ἕτερον συνάλλαγμα ἐπιγινομένη μανία διαφθείρει.* 2. a) *Οὐδὲ* 2. *τὸν ἄσωτον, ᾧ τῶν οἰκείων πραγμάτων ἡ διοίκησις ἀπηγόρευται, ὁ νόμος συγχωρεῖ διατίθεσθαι, ἡ δὲ πρὸ τῆς ἀσωτείας γενομένη διαθήκη, τουτέστι πρὶν ἡ διοίκησις τῶν*[4]) *πραγμάτων αὐτῷ ἀπαγορευθῇ βεβαία μένει.*b) 3. *Ἄλαλος ἢ*[5]) *κωφὸς οὐκ* 3. *ἀεὶ*[6]) *διατίθενται· διαλεγόμεθα δὲ*[7]) *περὶ ἐκείνου τοῦ κωφοῦ τοῦ παντελῶς μὴ ἐξακούοντος*[8]) *οὐ μὴν τοῦ βραδέως ἀκούοντος· οὗτος γὰρ διατίθεται. καὶ γὰρ καὶ*[9]) *ἄλαλον ἐκεῖνόν φαμεν οὐ τὸν βραδέως λαλοῦντα, ἀλλὰ τὸν παντελῶς μὴ φθεγγόμενον. τὸ δὲ 'οὐκ ἀεὶ' προστέθεικα δι' ἐκείνην τὴν αἰτίαν· πολλάκις*[10]) *τις εἰδὼς γράμματα καὶ πεπαιδευμένος συμφορᾶς ἐπιγινομένης*[11]) *(πλεῖσται δὲ αἱ ταύτην ἐπάγουσαι αἰτίαι) τῆς ἀκοῆς ἢ τῆς γλώσσης ἐστερήθη. καὶ ἐπειδὴ παρὰ τοῖς παλαιοῖς οἱ τοιοῦτοι οὐκ ἠδύναντο διατίθεσθαι, διάταξις ἐφοίτησε τοῦ ἡμετέρου βασιλέως κελεύουσα τοῖς ἐκ πάθους εἰς τοῦτο ἐλθοῦσι μετά τινος παραφυλακῆς δύνασθαι διατίθεσθαι. τὸν δὲ τρόπον καὶ τὴν*[12]) *παρατήρησίν ἐστιν ἀνελλιπῶς μαθεῖν*[13]) *τὴν εἰρημένην ἀναγνόντα νεαρὰν διάταξιν. εἰ δὲ διαθέμενος, νόσου συμβάσης ἢ ἐκ τιμωρίας ἀρχοντικῆς ἢ ἐξ ἄλλης οἱαςδήποτε περι-*

---

1) —*θεται* Vi. F1. R. 2) *τῷ* F2. cum L1. L2. 3) *ἀπέλειπεν* Vi. R. 4) *διοικ. αὐτῷ πραγμ.* L1. L2. F. 5) *καὶ* V. R. 6) d. F. 7) d. M. 8) *ἀκ.* Vi. R. 9) d. L6. Vi. R. 10) *γὰρ* ad. Vi. R. 11) M.: cet. *ἐπιγεν.* 12) ita libri: F. de '*καὶ*': Vi. R. de '*τὴν*'. 13) *τὸν* ad. Vi. R.

a) schol. Harm 5, 1, 25. Epa. 30, 5. b) Harm. 5, 1, 17 et schol. ad. 18. Epa 30, 6.

adeptus, alterum iam deseruerit. inualidum autem erit eorum
testamentum, quamuis alter pubes, alter compos mentis factus
decesserit. si uero furiosus per id tempus faciat testamen-
tum, quo furere cessat, idest in interuallis, queritur an ua-
leat? et magis est ut dicamus iustum esse testamentum. quid
autem si quis cum testamentum fecerit furere incipiat? id
furoris uitium superueniens recte factum testamentum non
peremit, sicuti neque aliud negotium furor postea interue-
2. niens tollit. 2. Neque prodigo, cui bonorum suorum admi-
nistratio interdicta est, iure testari conceditur. testamentum
autem ante prodigalitatem factum, idest priusquam bonorum
3 interdictio fiat, ratum manet. 3. Mutus et surdus non sem-
per facere testamentum possunt. utique de eo surdo loqui-
mur, qui omnino non exaudiat, non qui tarde exaudiat. hic
enim testari potest. set etiam mutum illum intellegimus non
qui tarde loquatur, set qui eloqui nihil possit. »non sem-
per« autem propter eiusmodi causam addidi. saepius quidam
litteratus et eruditus quadam calamitate (uarii enim casus
sunt qui id adferant), audiendi uel loquendi facultatem ami-
sit. et cum apud ueteres eiusmodi homines testari non pos-
sent, promulgata est principis nostri constitutio permittens iis
qui morbo tales facti sint ut secundum certam normam pos-
sint testari. modum autem atque obseruationem perfecte col-
ligere licet praedictam nouellam constitutionem legenti; si
uero cum quis testamentum fecerit, ualetudine forte uel poena
a magistratu inflicta, uel alio quolibet casu mutus surdusue

στάσεως ἄλαλος ἢ κωφὸς γέγονεν ἡ προγενομένη φυλάττει τὴν
ἰδίαν ἰσχὺν διαθήκη. 4. [a])Ὁ τυφλὸς δύναται διατίθεσθαι πα- 4.
ραφυλάττων τὰ εἰρημένα τῇ διατάξει[1]) τοῦ τῆς θείας λήξεως
Ἰουστίνου. 5. Ὁ παρὰ τοῖς πολεμίοις ὢν οὐ καλῶς παρ' 5.
αὐτοῖς[2]) διατίθεται, εἰ καὶ[3]) συμβῇ τοῦτον εἰς τὴν ἡμετέραν πολιτείαν ἐλθεῖν.[4]) τὴν δὲ παρ' ἡμῖν γενομένην διαθήκην ἐρρῶσθαί φαμεν μετὰ ταῦτα γενομένου αὐτοῦ αἰχμαλώτου.[5]) εἴτε γὰρ ὑποστρέψῃ,[6]) τὸ δίκαιον τοῦ postliminíu παρέχει αὐτῇ τὸ βέβαιον· εἴτε παρὰ τοῖς πολεμίοις τελευτήσῃ, ὁ Cornélios νόμος χαρίζεται αὐτῇ τὴν ἰσχύν.

De exheredatione liberorum.[7]) Titulus 13.

Εἰρήκαμεν ἐν τοῖς προλαβοῦσι τίνα τρόπον δεῖ γίνεσθαι τὰς διαθήκας, οἷον τὸ[8]) τὸν testátora οἰκείᾳ χειρὶ γράφειν τὸ τοῦ κληρονόμου ὄνομα ἢ τοῦτο[9]) λεγειν ἐπὶ τῶν μαρτύρων, καὶ τὸ ἑπτὰ εἶναι τοὺς μάρτυρας καὶ τούτους ὑπογράφειν ἐν τῇ διαθήκῃ καὶ ταύτην σφραγίζειν μηδενὸς ἐν μέσῳ πραττομένου. ἓν δέ τι τούτων παραλειφθὲν ἄχρηστον δείκνυσι τὴν διαθήκην. οὐ μόνον δὲ[10]) τῆς εἰρημένης δεόμεθα παραφυλακῆς πρὸς τὸ ἰσχυρῶς διατίθεσθαι, ἀλλ' ἔτι ζητοῦμεν[11]) καὶ ἄλλο τι· δεῖ γὰρ σκοπεῖν εἰ υἱὸν ὑπεξούσιον[12]) ὁ testátωr εἶχεν[13]). δεῖ γὰρ

---

1) τὰ ἐν τῇ εἰρημ. διατ. Vi. R. 2) ἐν αὐτ. Harm. 3) καὶ εἰ Harm. 4) ἀνελθεῖν cj. Gavel. 5) κἂν ὁ διαθέμ. μ. τ. γένηται αἰχμ. Harm. κἂν μ. τ. γέν Epa. 6) ὑπέστρεψεν et infra ἐτελεύτησεν Epa. 7) περὶ ἀποκλήρων παίδων ad. libri: π. ἀπ. ἐλευθέρων ἤγουν π. L[6]. M. 8) d. Vi. R. 9) τοῦ F. 10) d. M. 11) M.: cet.: 'ἐπιζητοῦμεν'. 12) εἴτε αὐτεξούσιον Vi. 13) ἔχει ὁ τ. Vi. R.

a) schol. Harm. 5, 1, 27. Epa. 30, 7.

4. fiat, antea factum testamentum suum ratum remanet. 4. Cae-
cus autem testari potest seruans quae cauta sunt constitu-
5. tione diuae memoriae Iustini. 5. Qui apud hostes est non
recte apud eosdem facit testamentum, quamuis in nostram
ciuitatem redeat. testamentum autem quod apud nos fecerit,
ualere dicimus etiam si postea ab hostibus capiatur. nam
siue redierit, iure postliminii confirmatur, siue apud hostes
decesserit, ex lege Cornelia ualebit.

De exheredatione liberorum. Titulus 13.

Superius pro posuimus quomodo testamenta fieri debeant ueluti ut testator manu propria heredis nomen scribat uel coram testibus pronuntiet; septemque sint testes qui testamento subscribant idque signent, nulla re in medio secuta. quorum si uel unum praetermittatur testamentum inritum est. nec tantum ad ualidum condendum testamentum eiusmodi obseruatio sufficit, set aliud quoque requirimus. dispiciendum enim est an filium in potestate habeat testator. hunc

τοῦτον ἢ κληρονόμον γράφειν ἢ ἀποκληρονόμον[1]) nominatim *ποιεῖν· εἰ δὲ σιωπῇ* praeteriteúsῃ *τοῦτον, ἀνυπόστατος ἡ διαθήκη ἐξ αὐτῆς τῆς γραφῆς. ἀμέλει εἰ καὶ συμβῇ τὸν παῖδα προτελευτῆσαι τοῦ οἰκείου πατρὸς, οὐδὲν ἧττον ἄκυρος ἡ διαθήκη διὰ*[2]) *τὸν κανόνα τὸν λέγοντα· τὰ ἐξ ἀρχῆς ἐν διαθήκαις*[3]) *ἀνυπόστατα ἐκ τῶν ἐπιγινομένων μετὰ ταῦτα ἰσχὺν λαμβάνειν οὐ δύναται. καὶ οὐ δυνήσονται οἱ* scrîptoi *κληρονόμοι διαδέξασθαι τὴν τοῦ τελευτήσαντος περιουσίαν, εἰ καὶ μὴ ὕπεστι παῖς ὁ διὰ τῆς* praeteritíonos *βλαπτόμενος. καὶ ταῦτα μὲν ἡνίκα υἱός ἐστιν ὑπεξούσιος.*[4]) *εἰ δέ τις ἔχει θυγατέρα ὑπεξουσίαν ἢ ἔκγονον ἢ ἐκγόνην ἢ προέκγονον ἢ προεκγόνην, οὐκ ἔγραψε δὲ αὐτοὺς κληρονόμους, οὐδὲ μὴν* exheredátus[4]) *ἐποίησεν, ἀλλ' ὕβρισεν αὐτοὺς* praeteritíoni, *οὐκ ἀκυροῦται μὲν ἡ διαθήκη, οἱ δὲ* praeteriteu*θέντες τοῖς γεγραμμένοις κληρονόμοις προσαύξουσιν.*[a]) *προσαύξησις δέ ἐστι μέρους ἀφαίρεσις· ἀλλ' εἰ μεν ἐξωτικοί εἰσιν οἱ γεγραμμένοι, εἰς τό ἥμισυ γίνεται ἡ προσαύξησις, εἰ δὲ* sûoi, *εἰς τὸ ἀναλογοῦν. οἷον, τρεῖς ἐνεστήσατό τις κληρονόμους τὴν θυγατέρα ἢ τὸν ἔκγονον* praetériton *καταλιπών. εἰ μὲν ἐξωτικοί εἰσιν οἱ γεγραμμένοι κληρονόμοι ἡ μὲν θυγάτηρ ἤγουν ὁ ἔκγονος λήψεται ξ̄ οὐγκίας*[5]) *οἱ δὲ γ̄ οἱ ἐξωτικοὶ κληρονόμοι ξ̄ οὐγκίας· εἰ δὲ* sûoi, *λαμβάνει*[6]) *τὸ ἀναλογοῦν, τουτέστι τρεῖς οὐγκίας, ὅσον ἤμελλε λαμβάνειν εἴγε ἀδιάθετος ἐτελεύτησεν ὁ πατὴρ, τουτέστι τὴν τετάρτην τῆς περιουσίας αὐτοῦ μοῖραν. ἐξῆν δὲ τούτους οὐ μόνον* nominatim *ἀλλὰ καὶ* inter ceteros[7]) exheredateúein *ἐν τῷ λέγειν· οἱ λοιποὶ ἔστωσαν ἀποκληρονόμοι.*[8]) *ἡ δὲ* nominatim exheredatíων *ἐγίνετο τοῦτον τὸν τρόπον· Τίτιος ὁ υἱός μου ἔστω* exherédatos. *δυνατὸν*[9]) *καὶ ἀπὸ ἐπιτηδεύματος. ὁ γραμματικὸς ἔστω* exherédatos. *καὶ*

---

1) *ἀπόκληρον* Vi. R. 2) *κατὰ* Vi. R. 3) d. L6. Vi. R. 4) haec d. L6. 5) ita M. L1. L2. 6) Ita M.: ς̄ |ο̄ L1. L2.: *ἐξαούγκιον* L6. ed. 7) *—νουσι* Vi. 8) *ἤτοι ἀορίστως* Vi. R. cf. B in M. '*ἀδιορίστως ἀποκληροῦν*'. 9) *—κληροι* Vi. R. *—ρονόμων* L1. L2. 10) *—ται* L6. Vi. R.

a) Cf. Gai. 2, 124. Epi. 30, 3 cum schol:

enim oportet heredem instituere uel nominatim exheredem facere. alioquin si eum silentio praeterierit, inutile erit testamentum simul ac conscriptum sit. itaque si filius uiuo patre moriatur, nihilo minus inutile erit testamentum propter iuris regulam quae ait *ea quae ab initio inutilia sint in testamentis ex postfacto conualescere non posse*. nec poterunt scripti heredes defuncti bona accipere, quamuis non existat filius qui praeteritione iniuria adfectus est. et haec quidem si filius in potestate praeteritus sit. sin autem quis filiam in potestate habens uel nepotem neptemue pronepotem proneptemue non scripserit eos heredes neque exheredes fecerit, set praeterierit silentio, non infirmabitur quidem testamentum, praeteriti autem scriptis heredibus adcrescent. adcrescere ius est portionis cuiusdam auferendae. set si extranei sint scripti heredes, in dimidiam portionem adscrescunt; sin autem sui heredes, in uirilem. ut ecce si tres quis heredes instituit filiam nepotemue praeteriens, si extranei sunt scripti heredes, filia nepósue semissem capient, si uero sui, uirilem portionem, idest quadrantem; quantum scilicet essent accepturi si intestatus parens decessisset, idest quartam bonorum eius partem. licebat autem hos non solum nominatim, set etiam inter ceteros exheredare, his uerbis: *ceteri exheredes sunto*. nominatim exheredatio ita fiebat: *Titius filius meus exheres esto*. poterat etiam ex officio: *grammaticus exheres esto*, et ex arte: *fa-*

ἀπὸ τέχνης· ὁ χαλκεύς, καὶ ἀπὸ ἡλικίας· ὁ πρεσβύτης ἢ ὁ νεώτερος, καὶ ἀπὸ χρώματος· ὁ λευκὸς ἢ[1]) ὁ μέλας. καὶ ἁπλῶς πᾶσα φράσις σαφῶς δηλοῦσα τὸ ὑποκείμενον πρόσωπον nominatim exheredatíona ἀποτελεῖ.[2]) 1. Δεῖ δὲ τὸν δια- 1.
τιθέμενον οὐ μόνον τῶν ἐν φύσει, ἀλλὰ καὶ τῶν postúmων φροντίδα τίθεσθαι καὶ γράφειν τούτους κληρονόμους ἢ ἀποκληρονόμους ποιεῖν, ἐπεὶ οἵ γε praeteriteuθέντες ἅμα τῷ τοκετῷ rúptan ποιοῦσι τὴν διαθήκην. καὶ οὐκ ἔστιν εὑρεῖν ἐνταῦθα διαφορὰν υἱοῦ ἢ θυγατρὸς[3]), ἐκγόνου ἢ ἐκγόνης· praeteriteuθέντων γὰρ αὐτῶν, ἔρρωται μὲν ἡ διαθήκη ἅμα τῇ γραφῇ, ἐκ δὲ τοῦ μετὰ ταῦτα τεχθῆναι τὸν postûmon ἢ τὴν postûman[4]). ῥήγνυται ἡ διαθήκη καὶ πᾶσα ἀκυροῦται ἐντεῦθεν, δηλονότι τῇ praeteritíoni αὐτῶν. οὐκ οὖν[5]) ἐξ αὐτῆς ἀκυροῦται τῆς γραφῆς, ἀλλ' ἐκ τοῦ τοκετοῦ· ὅθεν[6]) εἰ συμβῇ τὴν γυναῖκα, ἐξ ἧς ὁ postûmos ἠλπίζετο τίκτεσθαι, ἀμβλῶναι, ἀνεμποδίστως οἱ scrîptoi κληρονόμοι aditeúsusi[7]) τὴν κληρονομίαν. ἀλλ' αἱ μὲν θήλειαι postûmai ἢ nominatim ἢ inter ceteros exheredateúontai. εἰ γὰρ εἴποι[8]) ὁ testátωr. ἔστω μοι ὁ δεῖνα κληρονόμος, οἱ δὲ λοιποὶ ἔστωσαν ἀποκληρονόμοι[9]), διὰ τούτων τῶν ῥημάτων exheredateúεσθαι δοκεῖ καὶ[10]) ἡ postûma. πλὴν μέντοι ἵνα μὴ μετὰ τὸ τεχθῆναι ἀναίσχυντον εἰσέρχηται δίκην πρὸς τὸν scrîpton κληρονόμον λέγουσα ὅτι οὐκ ἐνεθυμήθη περὶ ἐμοῦ ὁ testátωr, ὁπότε[11]) καὶ ἠγνόει με, δεῖ ληγάτον[12]) αὐτῇ καταλιπεῖν, ἵνα οὕτως εἴπῃ ὁ διατιθέμενος· ἔστω μου ὁ δεῖνα κληρονόμος, οἱ δὲ λοιποὶ ἔστωσαν ἀποκληρονόμοι[13]), τῇ δὲ τικτομένῃ[14]) postúmᾳ ληγατεύω ἑκατὸν νομίσματα. τούτου γὰρ οὕτως ἔχοντος λέγομεν[15]) αὐτῇ ὅτι περὶ σοῦ τὴν inter ceteros ἔγραψεν[16]) exheredatíona, ἀμέλει καὶ ληγάτον σοι κατέλιπεν. τοὺς δὲ ἄρρε-

---

1) καὶ Vi. 2) ἐξερέδατον ποιεῖ L6. 3) ἢ ad. Vi. F1. R. 4) d. M. 5) admisi ex cj. R. 6) ὅτι Vi. F1. R. 7) ita M. L1. 8) M.: cet. —πῃ. 9) —κληροι Vi. R. 10) d. Vi. R. 11) ἡνίκα L6. 12) —τα Vi. R. 13) —κληροι Vi. R. 14) uoc. 'μοι' omisi ex M. L1. L2. 15) τούτου γὰρ οὕτως λεγομένου M. 16) —ψα Vi.

ber, et ex aetate: maximus natu, minimus natu, uel ex colore. albus seu niger. et in summa quaeque dictio, qua persona clare significetur ad nominatim exheredandum sufficit. 1.

1. Oportet testatorem non eorum tantum qui in rerum natura sunt set etiam postumorum curam gerere, eosque heredes scribere uel exheredes facere; nam praeteriti simul atque nascuntur testamentum rumpunt. neque ulla differentia inuenienda est inter filium et filiam, nepotem neptemque. his enim praeteritis, scriptum testamentum ualet, postumo autem nato, rumpitur testamentum et prorsus infirmatur, scilicet quia postumus praeteritus est. non uero statim ab ipsa scriptura, set ex adgnatione postumi infirmatur. ideoque si mulier ex qua postumus sperabatur abortum fecerit, nihil impedimentum erit scriptis heredibus quominus hereditatem adeant. set feminini quidem sexus postumi uel nominatim uel inter ceteros exheredari solent. nam si testator dicat: sit mihi ille heres, ceter exheredes sunto, per haec uerba exheredari etiam postuma uidetur. attamen ne ipsa cum nata sit temere scripto heredi controuersiam faciat, dicens de semetipsa non cogitasse testatorem, utpote qui eam ignorauerit, oportet ei legatum relinquere. dicet itaque ita testator: sit mihi ille heres, ceteri exheredes sunto: postumae, quae mihi nascetur, aureos C lego. ita enim re se habente, dicimus ei: te quoque inter ceteros scripta exheredatio amplectitur; itaque et legatum testator tibi reliquit. postumos autem masculini sexus, idest filium uel ne-

νας postúmus[1]), τουτέστιν υἱὸν ἢ[2]) ἔκγονον ἢ[2]) προέκγονον, ἤρεσε μὴ ἄλλως exheredateúeσθαι, εἰ μὴ nominatim. καὶ ποῖον ὄνομα δυνατὸν εἰπεῖν ἐπὶ τοῦ μήπω τεχθέντος; ἐροῦμεν ὅτι τοῦτον[3]) δηλώσομεν τούτῳ τῷ τρόπῳ, ἵνα εἴπωμεν· ὅςτις-δήποτέ μοι παῖς τεχθῇ ἀποκληρονόμος[4]) ἔστω, ἢ ἵνα εἴπων· ὁ μέλλων μοι[5]) τίκτεσθαι ἀπὸ τῆςδε τῆς ἐμῆς γαμετῆς ἀποκληρονόμος ἔστω. 2. Εἰσὶ καὶ ἕτεροι τοῖς postúmois 2. ἐοικότες, οἵτινες τοῦ προλαμβάνοντος κατὰ βαθμὸν súu τελευτήσαντος, sûoi γίνονται. οἷον ὡς ἐπὶ θέματος.[6]) εἶχον[7]) υἱὸν ὑπεξούσιον καὶ ἐκ τούτου ἔκγονον ἢ ἐκγόνην. ἀλλ' ὁ μὲν υἱὸς ἦν sûos διὰ τὸ μὴ προλαμβάνεσθαι, ὁ δὲ ἔκγονος ἢ ἐκγόνη ὑπεξούσιοι μὲν ἦσαν, διὰ δὲ τὸ προλαμβάνεσθαι ὑπὸ τοῦ οἰκείου πατρὸς οὐκ εἶχον παρ' ἑαυτοῖς τὸ sûon. διατιθέμενος ἐγὼ τίνος ὀφείλω φροντίδα ποιήσασθαι; πρόδηλον ὅτι τούτου[8]) τοῦ υἱοῦ καὶ τοῦτον γράφειν κληρονόμον ἢ exheredateúein. ἆρα δὲ[9]) τοῦ ἐκγόνου ἢ τῆς ἐκγόνης; οὐδαμῶς· οὗτοι γὰρ οὐκ ὄντες sûoi ἐὰν praeteriteuθῶsin, οὔτε ipso iure[10]) ἀνυπόστατον ποιοῦσι τὴν διαθήκην, οὔτε προσαύξειν δύνανται· ταῦτα γὰρ τῶν súωn ἴδια. ἀλλ' εἰ μὲν μέχρι τέλους ἐσώζετο τὸ αὐτὸ σχῆμα, καλῶς ἂν ἐλέγετο ταῦτα· ἐπειδὴ δὲ εἰκὸς ἐμοῦ ζῶντος τὸ μέσον πρόσωπον ἐξελθεῖν τῆς ὑπεξουσιότητος ἢ τελευτῇ ἢ ἐπειδὴ ἔτυχεν ἀξιώματος πατρικίου, εὑρίσκεται λοιπὸν ὁ ἔκγονος ἢ ἡ[11]) ἐκγόνη ἢ[12]) sûos ἢ sûa ὥςπερ ἐπιτεχθέντες μιμούμενοί τε κατὰ τοῦτο τοὺς postúmus (μὴ ὄντες γὰρ πάλαι sûoi νῦν γίνονται sûoi καὶ ὥςπερ οἱ postûmoi τῷ τοκετῷ, οὕτως καὶ οὗτοι[13]) τῇ ἐπαναβάσει rúptan ποιοῦσι τὴν διαθήκην) ἵνα μὴ οὖν καινὸς sûos, ἐπαναβαίνων ὁ ἔκγονος, rúptan ποιήσῃ τὴν διαθήκην, ὥςπερ αὐτὸν τὸν υἱόν, οὕτω καὶ τὸν ἔκγονον ἤγουν[14]) τὴν ἐκγόνην ὀφείλω γράφειν κληρονόμους ἢ ex-

---

1) τοὺς ἀρ. ποστ. F1. τοὺς ἀρ. δὲ π. Vi. R. 2) d. L6. Vi. R. 3) τοῦτο Vi. 4) —κληρος L6. Vi. R. 5) d. Vi. R. 6) ὡς ἐπὶ τούτου τοῦ θ. Vi. R. 7) εἶχέ τις L1. F. 8) add. ex M. 9) καὶ cj. R. 10) ἤγουν. 11) d. F. 12) d. L6. Vi. R. 13) τοκ. καί οὗτοι Vi. R. F1. 14) ἢ Vi. R.

potem uel pronepotem non aliter exheredari placuit quam nominatim. set quale nomen de eo qui nondum natus est praedicari potest? hoc modo eum significare possumus dicentes: quicumque mihi filius genitus fuerit exheres esto. uel ita: quicumque mihi ex hac uxore mea natus
2. fuerit exheres esto. 2. Sunt aliae quoque personae, quae postumorum loco sunt, quae in sui heredis mortui locum succedentes sui heredes fiunt. ut ecce, filium in potestate habebam atque ex eo nepotem neptemue. set filius quidem suus erat, cum nemo eum praecederet; nepos autem neptisue in potestate erant, set cum a proprio patre praecederentur sui heredes esse non poterant. testamentum cum faciam cuiusnam curam gerere debeo? huius filii, ut patet; eumque heredem instituere uel exheredem facere. num etiam nepotis neptisue? nullomodo. nam cum sui heredes non sint, si praetereantur, neque ipso iure inritum faciunt testamentum, neque adcrescere possunt, nam haec suorum heredum propria sunt. set si usque ad finem eadem rerum condicio seruetur, recte haec dicerentur. set cum me uiuo potest media persona potestate egredi, seu morte, seu patricia dignitate optenta, ut inueniatur deinceps nepos neptisue suus suaue heres esse quadam adgnatione ad similitudinem postumorum (cum enim antea sui heredes non essent, nunc fiunt sui, et sicuti postumi adgnascendo, ita hi succedendo rumpunt testamentum), ne igitur nouus suus, idest nepos succedens, testamentum rumpat, sicuti ipsum filium ita nepotem neptemue heredes scribere exheredesue nominatim facere debeo. nam si praeter-

heredátus nominatim *ποιεῖν. εἰ δὲ* praeteriteuϑῶsi[1]) *τῇ ἐπαναβάσει*[2]) *ὡς μὴ ἐννόμως ἠσφαλισμένην ἀκυροῦσι τὴν διαϑήκην. καὶ τοῦτο τῷ* Iulíῳ Velléῳ[3]) *νόμῳ εἴρηται,*[a]) *ὅςτις νόμος κατὰ μίμησιν τῶν* postúmων exheredátus *αὐτοὺς εἶπε γενέσϑαι, τουτέστι τὸν μὲν ἔκγονον* nominatim, [*τὴν δὲ ἐκγόνην* nominatim][4]) *ἢ* inter ceteros *μετὰ δόσεως ληγάτου.* 3. *Εἰγέ* 3.
τις υἱὸν ἢ ϑυγατέρα emancipátus. *διατιϑέμενος οὗτος, ὅσον κατὰ τὴν πολιτικὴν νομοϑεσίαν, οὐκ ἀναγκάζεται γράφειν αὐτοὺς κληρονόμους ἢ ἀποκληρονόμους ποιεῖν, ἄγνωστοι γάρ εἰσι τῷ δωδεκαδέλτῳ δι' ἣν ὑπέστησαν* capitis deminutíona. *ὁ δὲ* praétωr *πρὸς τὴν φυσικὴν ὁρῶν συγγένειαν οἶδε καὶ τούτους τοὺς*[5]) *παῖδας καὶ κελεύει*[6]) *τοὺς* emancipátus *γράφεσϑαι κληρονόμους. εἰ δὲ μὴ βούλεται ὁ διατιϑέμενος, οἱ μὲν ἄρρενες* nominatim exheredateuésϑ*ωσαν, αἱ δὲ ϑήλειαι καὶ* nominatim *καὶ* inter ceteros. *εἰ δὲ μήτε γραφῶσι κληρονόμοι, μήτε, καϑὰ εἴρηται,* exheredateuϑῶsi, *δίδωσιν αὐτοῖς ὁ* praétωr *τὴν* contra tabulas[7]), *δι' ἧς ὁ μὲν υἱὸς ἤγουν*[8]) *ὁ ἔκγονος πᾶσαν λήψεται τὴν τοῦ τελευτήσαντος οὐσίαν, ἡ δὲ ϑυγάτηρ ἤγουν ἡ*[9]) *ἐκγόνη τοσοῦτον λαμβάνει, ὅσον ἐκέρδαινε διὰ τῆς προσαυξήσεως οὖσα ὑπεξουσία.* 4. *Ἔχε ταῦτα ὡς ἐν προϑεωρίᾳ. ἐπειδὰν λάβω* 4.
τινὰ εἰς υἱοϑεσίαν, οὗτός ἐστί μου[10]) *υἱὸς καὶ νόμῳ καὶ φύσει. νόμῳ μὲν διὰ τὴν ϑέσιν,*[11]) *φύσει δὲ διὰ τὸν νόμον. ὁ γὰρ νόμος κατέχει παρ' ἑαυτῷ τὴν φύσιν. μέχρι δὲ τοσούτου φύσει τοῦ παιδὸς νομίζομαι εἶναι πατήρ, ἐφ' ὅσον ἀκμάζει τὰ τῆς ϑέσεως. εἰ δὲ ποιήσω αὐτὸν* emancípaton, *νόμιμος οὖσα*[12]) *πρᾶξις διαλύει τὸν νόμον τὸν διὰ τῆς ϑέσεως συστάντα. τοῦ νόμου*[13]) *μηκέτι σωζομένου*[14]), *συναφίσταται*[15])

---

1) praeteriteúsosín M. 2) *ὅτε τὸ μέσον δήλονότι πρόσωπον ὑπεξέλϑῃ* ad. Vi. R. 3) *παλαιῷ* M. uelléῳ scrib. L[1]. L[2]. *Βελλέῳ* F[2]. *βελλίῳ* L[6]. *Βελλείῳ* Vi. F[1]. R. 4) Inclusa addidi ex Gaio Cf. Rendic. Ist. Lomb. XVI 582. '*τὰς ϑύγατέρας καὶ ἐκγόνους*' perperam ex glossem. L[1]. L[2]. L[6]. M. Vi. Cf. etiam not. F[2]. 262. R. I 370. 5) ad. ex M. 6) *τούτους* ad. Vi. R. 7) tabúlas L[1]. tabûlas L[2]. *κοντραταβούλλας* Vi. ed. ant. F. 8) *ἢ* F.: *ἢ ἐγ.* F[2]. 9) add. ex M. 10) *ἔσται μοι* Vi. R. 11) *αὐτὴν* ad. L[6]. Vi. R. 12) *ἡ* ins. L[6]. Vi. R. 13) *δὲ* L[6]. ins. Vi. R. 14) M.: *σωζ. μηκ.* 15) —*ίπταται* M.

a) Gai. 2, 134.

eantur, succedendo iure factum rumpunt testamentum. et hoc
lege Iulia Vellaea prouisum est in qua ad similitudinem postu-
morum exheredes fieri iubentur, idest nepos nominatim, [neptis
3. autem nominatim uel] inter ceteros legato relicto. 3. Habebat
quidam filium filiamue emancipatos. cum testamentum faciat,
quod ad ius ciuile, non cogitur eos heredes instituere uel
exheredes scribere, ignoti sunt enim legi XII tabularum pro-
pter quam passi sunt capitis deminutionem. praetor autem
naturalem cognationem respiciens, hos quoque liberos recog-
noscit, iubetque emancipatos heredes instituere. sin autem
testator nolit, mares quidem nominatim exheredentur, feminae
autem et nominatim et inter ceteros. quod si neque heredes
scribantur, neque, uti dictum est, exheredes fiant, dat eis
praetor contra tabulas bonorum possessionem, per quam filius
neposue omnem defuncti accipient substantiam, filia autem
neptisue tantum accipit quantum si potestati subiecta fuisset
4. adcrescendo accepisset. 4. Haec primum tibi perspecta ha-
beas. si quem in adoptionem accipiam, hic mihi filius erit
et iure et natura. iure quidem propter adoptionem, natura
autem propter iuris uim; ius enim etiam naturam in se-
metipso amplectitur. eo usque autem natura filii huius pa-
ter esse existimor, donec adoptio durat. quod si eum emanci-
pauero, cum is actus sit legitimus, legitimos adoptionis effectus
soluit. cum autem ius non amplius seruetur, recedit simul

καὶ ἡ φύσις οὐκ ἔχουσα τὸν κατέχοντα. ἐπειδή σοι ταῦτα προτεθεώρηται ὅρα λοιπὸν τὸ προκείμενον. ἐκδέδωκά σοι πρὸς γάμον τὴν ἐμὴν θυγατέρα· ἐτέχθη παῖς· ἦν ὑπεξούσιός σου[1]) *δηλονότι. αἰτηθεὶς παρ' ἐμοῦ δέδωκάς μοι τοῦτον εἰς υἱοθεσίαν. ζητῶμεν τίς ἐξ ἡμῶν διατιθέμενος*[2]) *ἀναγκάζεται φροντίδα τούτου τίθεσθαι. καὶ λέγομεν, ὅτι ἐγὼ ὁ θετὸς πατήρ· διὰ γὰρ τῆς θέσεως ἔοικεν οὗτος τοῖς ἀπὸ ἐννόμων γάμων τεχθεῖσί μοι. ὥςτε οὖν ὥςπερ τὸν νόμιμόν μου υἱὸν τὸν ὑπεξούσιον ἀναγκάζομαι γράφειν κληρονόμον ἢ κατὰ τὰ προειρημένα* exheredateúein, *οὕτω καὶ τὸν θετόν. σὺ μέντοι ὁ φυσικὸς πατὴρ οὐκ ἀναγκάζῃ αὐτὸν γράφειν κληρονόμον οὐδὲ γὰρ νομιμός σου υἱός ἐστιν, οὐδὲ γὰρ ἔχεις αὐτὸν ὑπεξούσιον, οὐδὲ φύσει ἐπειδὴ*[3]) *διὰ τοῦ νόμου ἐγὼ ὁ θετὸς πατὴρ δοκῶ φύσει*[4]) *εἶναι αὐτοῦ πατὴρ, οὐδεὶς δὲ δύο φυσικοὺς πατέρας ἔχειν δύναται.*[5]) *εἰ δὲ ποιήσω αὐτὸν* emancípaton, *οὔτε κατὰ τὸν πολιτικὸν, οὔτε κατὰ τὸν* praétora *μεταξὺ τῶν παίδων ἀριθμηθήσεται.*[6]) *οὐκοῦν ἐγὼ μὲν οὐκ ἀναγκάζομαι γράφειν αὐτὸν κληρονόμον οὐδὲ ὁ*[7]) *φυσικὸς πατὴρ ἀναγκασθήσεται τοῦτο πράττειν. οὕτω γὰρ ἔσται οὗτος ὁ παῖς, ὥςπερ*[8]) *εἰ ὑπὸ σοῦ τοῦ φυσικοῦ πατρὸς γέγονεν* emancípatos. 5. *Ἀλλὰ ταῦτα μὲν* 5. *κατὰ τὸ παλαιόν, διάταξις δὲ γέγονε τοῦ ἡμετέρου βασιλέως μηδεμίαν εἶναι βουλομένη διαφορὰν ἐν διαθήκαις*[9]) *ἀρρένων καὶ θηλειῶν· ἑκάτερον γὰρ πρόσωπον πρὸς παίδων γέννησιν ἐπιτήδειον ὁμοίως ἡ φύσις προήγαγε, κἀκεῖθεν δῆλον μὴ εἶναί τινα μεταξὺ αὐτῶν διάκρισιν, ἐξ ὧν ὁ δωδεκάδελτος ἐξ ἀδιαθέτου ὁμοίως ἄρρενας καλεῖ καὶ θηλείας. καὶ ὁ* praétωr[10]) *ἀκολουθήσας φαίνεται τῷ δωδεκαδέλτῳ, ἁπλοῦν τοίνυν καὶ ὅμοιον εἰσηγήσατο νόμον ἐπὶ υἱῶν καὶ θυγατέρων καὶ πάντων τῶν ἐξ ἀρρενογονίας καταγομένων, οὐ μόνον τεχθέντων ἤδη, ἀλλὰ καὶ κυοφορουμένων καὶ οὐ μόνον ὑπεξουσίων, ἀλλὰ καὶ*

---

1) *σοι* L6. Vi. R. 2) *διαθέμ.* L1. L2. F. 3) *εἰ γὰρ* M. L1. L6.: *ἐπεὶ γὰρ* F. 4) *φυσικὸς* Vi. R. 5) haec sic leg. F. '*ἔχω αὐτὸν ἐγὼ ὁ θετὸς πατὴρ υἱὸν καὶ φύσει δοκῶ εἶναι πατήρ.* 6) *συναρ.* Vi. R. 7) d. L1. L2. F. 8) *οὗτος ὡς* G.: *εἰ ὥσπ.* L. 9) *—κῃ* Vi. R. 15) *δὲ* ad. Vi. R.

et natura, cum non habeat quo nitatur. cum haec tibi perspecta sint, uide quid inde sequatur. dedi tibi uxorem filiam meam: peperit filium: in tua potestate hic erat, ut liquet: a me rogatus, eum mihi adoptandum dedisti. quaeramus uter nostrum testamentum condens eius curam agere debeat? et dicendum est: ego pater adoptiuus. nam propter adoptionem in ea est condicione, qua sunt ex iustis nuptiis mihi quaesiti. itaque sicuti legitimum filium meo iuri subiectum heredem instituere cogor uel secundum quae exposuimus exheredem facere, ita et adoptiuum. tu igitur naturalis pater non cogeris eum heredem instituere, neque enim iure tibi filius est, non enim eum in potestate habes, neque natura, cum ego quidem iure adoptiuus pater naturalis eius pater esse uidear, nemo autem duos naturales patres habere potest. sin autem eum emancipauero, neque iure ciuili, neque edicto praetoris inter liberos connumerabitur. igitur neque ego cogor eundem heredem instituere, neque naturalis pater ad id faciendum tenebitur. in ea enim causa eiusmodi filius esse incipit in qua esset futurus si a te naturali patre fuisset emanci-
5. patus. 5. Set haec uetustas introducebat; lata est uero constitutio principis nostri, quae nihil inter masculorum et feminarum testamenta interesse uult; quia utraque persona in filiorum procreatione similiter officio naturae fungitur. hinc quoque patet nullam esse inter eos differentia, quod lex XII tabularum ab intestato mares similiter et feminas ad successiones uocabat. et praetor uidetur legem XII tabularum esse secutus; ideo simplex ac simile ius introduxit et in filiis et in filiabus et in ceteris descendentibus per uirilem sexum personis non solum natis set etiam postumis et non solum filiisfamilias set etiam emancipatis. et iussit siue sui sint

emancipátωn. καὶ ἐκέλευσεν εἴτε sûoí εἰσι[1]) παῖδες εἴτε emancípatoi, εἰ μὴ γράφονται κληρονόμοι, nominatim αὐτοὺς exheredátus γίνεσθαι. praeteriteuθέντες γὰρ ὡσαύτως ἀκυροῦσιν ἐξ αὐτῆς τῆς γραφῆς τὴν διαθήκην εἴτε sûoí εἰσιν εἴτε emancípatoi εἴτε εἰσὶν ἐν φύσει ἢ καὶ postûmoi ὄντες μετὰ ταῦτα τεχθῶσιν. ἐπὶ δὲ τοῖς θετοῖς παισὶν ἰδιάζουσάν τινα ἐπενόησε παρατήρησιν ἐν ἑτέρᾳ αὐτοῦ διατάξει ὁ θειότατος ἡμῶν βασιλεὺς ἣν τέθεικε περὶ τῶν υἱοθετουμένων. 6. 6. Στρατιώτης ἐν expedítῳ διάγων διέθετο, τοὺς δὲ[2]) οἰκείους παῖδας ὄντας ἐν φύσει ἤγουν κυοφορουμένους οὔτε κληρονόμους ἔγραψεν, οὔτε nominatim exheredáteusen, ἀλλ' ὕβρισε[3]) praeteritíoni. ζητῶμεν εἰ ἔρρωται αὐτοῦ ἡ διαθήκη· καί φαμεν ὅτι εἰ μὲν ἠπίστατο τούτους ὑπόντας καὶ μνήμην αὐτῶν οὐκ ἐποιήσατο, ἡ σιωπὴ ἀντὶ nominatim exheredatíonos παραλαμβάνεται, ὡς βούλονται αἱ βασιλικαὶ διατάξεις καὶ ἔρρωται αὐτοῦ ἡ διαθήκη. εἰ δὲ ἠγνόει, ipso iure ἀνυπόστατός ἐστιν αὐτοῦ ἡ διαθήκη. 7. Μητὴρ ἤγουν πάππος πρὸς μητρὸς 7. διατιθέμενοι οὐκ ἀναγκάζονται τοὺς ἰδίους παῖδας γράφειν κληρονόμους ἢ exheredateúein, ἀλλὰ δύνανται τούτους ἀποσιωπᾶν. ἡ γὰρ σιωπὴ τῆς μητρὸς ἢ τοῦ πάππου ἰσχύει,[4]) ὅσον ἡ τοῦ πατρὸς exheredatíωn. οὐδὲ γὰρ μητὴρ τὸν υἱὸν ἢ τὴν θυγατέρα, οὐδὲ πάππος τὸν ἀπὸ θυγατρὸς ἔκγονον ἢ ἐκγόνην ἀναγκάζονται γράφειν κληρονόμους ἢ exheredateúein. ἀμέλει praetéritoi γενόμενοι οὐδὲ ἀπὸ τῆς πολιτικῆς βοηθοῦνται νομοθεσίας, οὐδὲ ὁ praétωr τὴν contra tabulas αὐτοῖς ἐπαγγέλλεται διακατοχήν. ταῦτα γὰρ ἐπὶ τῶν súωn ἤτοι τῶν παυσαμένων súωn[5]) tractaízetai. ἔσται δὲ αὐτοῖς ἑτέρα[6]) πρὸς τοῦτο βοήθεια ἣν ἐροῦμεν μικρὸν ὕστερον.

1) οἱ Pi. 2) d. Vi. R.: μὲν L 6. 3) αὐτοὺς ad. Vi. R. 4) libri ἰσχύουσι: ita Vi.: Gavel cj. 'ἰσχύουσα' [ἐστι]': nec placet. 5) M.: εἶναι súωn L 1. L 2. F.: παυομένων σούων Vi. (qui scr. οὐ μέντοι τῶν cet.) R. 6) ἑτ. δὲ αὐτ. ἔστ. L 6.

siue emancipati, nisi heredes scribantur nominatim eos exhe-
redari praeteriti uero similiter testamentum infirmant si-
mul atque scriptum est, siue sui sint siue emancipati,
siue in rerum natura sint siue postumi postea nascan-
tur. circa adoptiuos autem liberos singularem quandam
induxit princeps noster diuisionem in alia constitutione
6. quam super adoptiuis tulit. 6. Miles in expeditione oc-
cupatus filios suos iam natos uel postumos neque heredes
instituit neque nominatim exheredes fecit, set praeteriuit.
dispiciamus an ualeat eius testamentum. et magis est ut si
cum eos extare scierit eorum mentionem non fecerit, silen-
tium pro exheredatione nominatim facta accipiatur secundum
7. principales constitutiones et ualebit ipsius testamentum. 7.
Mater ausue maternus cum testentur non coguntur liberos
suos heredes instituere aut exheredare, set possunt eos si-
lentio omittere. silentium enim matris uel aui materni tan-
tum efficit quantum exheredatio patris. neque enim mater
filium filiamue neque auus maternus nepotem neptemue ex
filia heredes scribere coguntur aut exheredare. itaque si
praeteriti sint, neque iure ciuili adiuuantur, neque praetor
ipsis contra tabulas bonorum possessionem promittit. haec
enim de suis uel de iis qui desierunt sui esse optinent. erit
autem iis aliud adminiculum de quo paulo post dispiciemus.

De heredibus instituendis.[1]) Titulus 14.

Μετὰ τὴν διδασκαλίαν, ἣν ἐπὶ τῇ ἐνστάσει καὶ exheredationi τῶν παίδων ἐποιησάμεθα, ἀναγκαῖον εἰπεῖν καὶ ὅπως[2]) τὰ ἄλλα πρόσωπα δυνάμεθα γράφειν κληρονόμους. γράφειν δὲ δυνάμεθα τοῦτο μὲν ἐλευθέρους τοῦτο δὲ οἰκέτας, καὶ οἰκέτας ἡμετέρους ἔτι δὲ καὶ ἀλλοτρίους.[3]) ἀλλὰ τοὺς[4]) ἡμετέρους οἰκέτας πάλαι μὲν κατὰ τὴν τῶν πλειόνων νομικῶν γνώμην οὐχ ἑτέρως, εἰ μὴ cum libertate γράφειν ἐξῆν· σήμερον δὲ καὶ sine libertate[5]) ἡ τοῦ οἰκέτου ἔνστασις ἔρρωται ἐκ διατάξεως τοῦ ἡμετέρου βασιλέως, ἥτις καὶ sine libertate γραφέντας αὐτοὺς ἀκωλύτως ἐπὶ τὴν κληρονομίαν καλεῖ· τοῦτο δὲ οὐ κατὰ καινισμόν τινα ἡ αὐτοῦ διάταξις εἰσήγαγεν, ἀλλὰ γνώμῃ νομικῶν ἀκολουθήσασα. Atilicînos[6]) γὰρ ὁ νομικὸς ἐδέξατο καὶ[7]) sine libertate τὴν τοῦ οἰκέτου καλῶς ἔνστασιν γίνεσθαι, ὡς ἀναφέρει αὐτὸν Paûlos ὁ σοφώτατος τοῦτο μὲν ἐν τοῖς ad Masurium[8]) Sabinum αὐτοῦ βιβλίοις, τοῦτο δὲ ἐν τοῖς ad Plautium. ἡμέτερος δὲ οἰκέτης νοεῖται[9]) κἀκεῖνος, οὗ τὸν usúfructon ἑτέρῳ παραχωρήσαντες γυμνὴν ἐπ' αὐτῷ proprietarían ἔχομεν. ἔστι δὲ εὑρεῖν ἓν παράδοξον θέμα, ὅτε τις τὸν ἴδιον[10]) οἰκέτην οὐδὲ cum libertate γράφει κληρονόμον ἰσχυρῶς καὶ τοῦτο διατάξει περιέχεται Σεβήρου καὶ Ἀντωνίνου τῶν θειοτάτων, ἥτις χώραν ἔσχεν ὡς[11]) ἐπὶ τοιούτου θέματος. ἀπέθετό τις κατηγορίαν κατὰ Τιτίας λέγων αὐτὴν ὑπὸ Στίχου τοῦ ἰδίου οἰκέτου μοιχεύεσθαι. μήπω περαιωθέντος τοῦ δικαστηρίου, ἡ εἰρημένη Τιτία τελευτῶσα τὸν εἰρημένον Στῖχον cum libertate ἐνεστήσατο κληρονόμον. μετὰ τὴν ἐκείνης τελευτὴν

---

1) περὶ τῆς τῶν κληρονόμων (—ρων M.) ἐνστάσεως libri. 2) Ita M.: ὁπόσα L1. L2. F.: καὶ ὁπόσα Vi. R. 3) τοῦτο μὲν οἰκέτας τοῦτο δὲ ἐλευθέρους καὶ οὐ μόνον ἡμετέρους ἀλλὰ καὶ ἀλλοτρίους οἰκέτας. Vi. R. 4) μὲν ad. Vi. R. 5) L6.: cet. δίχα ἐλευθερίος. 6) Ἀτιλῖnos M. Atilînos L1. —λῖνος L6. 7) d. M. 8) Messarium M. 9) ποιεῖται F2. 10) d. Vi. R.: ἐν παραδόξῳ θέματι ὅτι τω ἴδιον M. 11) καὶ L1. L2.: de. Vi. R: ὡς M. Pi. F.

De heredibus instituendis. Titulus 14.

Cum de institutione et exheredatione liberorum tractauerimus, dicendum est quomodo ceteras personas heredes instituere possumus. instituere autem possumus tam liberas personas quam seruos, seruosque nostros et alienos. set nostros quidem seruos olim secundum plurium prudentium sententiam non aliter quam cum libertate instituere licebat. hodie autem etiam sine libertate serui institutio ualet ex constitutione principis nostri, quae et sine libertate scriptos eos procul impedimento ad hereditatem uocat. hoc uero non per innouationem quandam eius induxit constitutio set prudentium amplexa sententiam. Atilicinus enim iurisconsultus putauit et sine libertate serui institutionem recte fieri, sicuti refert Paulus uir doctissimus cum in libris suis ad Masurium Sabinum, tum in illis quos ad Plautium scripsit. noster autem seruus etiam is intellegitur, cuius usumfructum alii concessimus et in quo nudam retinemus proprietatem. est autem casus quidem singularis, in quo nec cum libertate seruum suum utiliter quis scribit, idque continetur constitutione diuorum Seueri et Antonini, quae eiusmodi casum respicit. ream quis Titiam fecerat dicens eam a proprio seruo adulterium passam esse. nondum absoluto iudicio, Titia illa moriens praedictum Stichum cum libertate heredem instituit.

ζήτησις γέγονε εἰ ἔρρωται τὰ τῆς ἐνστάσεως καὶ οἱ εἰρημένοι θειότατοι βασιλεῖς ἀντέγραψαν τὸν οἰκέτην ἔνοχον ὄντα τῇ μοιχείᾳ οὐκ ἰσχυρῶς ἐν τῇ διαθήκῃ ἐλευθεροῦσθαι πρὸ τοῦ πέρατος τοῦ δικαστηρίου ὑπ' ἐκείνης αὐτοῦ τῆς δεσποίνης, ἥτις ὡς ὑποπεσοῦσα τῷ αὐτῷ[1]) ἐγκλήματι κατηγορεῖται· ὥςτε οὖν ἡ ἔνστασις, ἡ ἐπὶ τῷ τοιούτῳ γενομένη δούλῳ πάσης ἰσχύος ἐστὶν ἐκτός. ἐπειδὴ δὲ εἰρήκαμεν καὶ τὸν ἀλλότριον οἰκέτην καλῶς γράφειν ἡμᾶς κληρονόμον, ὀφείλεις εἰδέναι ὅτι ἀλλότριός ἐστι κἀκεῖνος ἐφ' ᾧ ὁ testátωr usúfructon εἶχεν. 1. Ἡνίκα 1.
δὲ τὸν ἐμὸν οἰκέτην γράψω κληρονόμον cum libertate ἢ sine libertate[2]) (ἀδιάφορον γὰρ καθὰ λέλεκται), εἰ μὲν μένει τελῶν ὑπὸ τὴν ἐμὴν δεσποτείαν ἐλεύθερος γενήσεται καὶ necessários ἐμοῦ κληρονόμος. εἰ δὲ ἐπιζήσας τῇ διαθήκῃ τοῦτον ἐλευθερώσω, uoluntários[3]) γενήσεται κληρονόμος ἐν παρρησίᾳ ἔχων τὸ aditeûsai ἢ μή, necessários γὰρ οὐ δύναται εἶναι, οἷον[4]) τὰ δυο ἐκ τῆς τοῦ δεσπότου μὴ δυνάμενος ἔχειν διαθήκης, τουτέστι τὴν κληρονομίαν καὶ τὴν ἐλευθερίαν.[5]) εἰ δὲ μὴ ἐλεθευρώσω μὲν αὐτὸν ἐκποιήσω δέ, κελεύσει τοῦ καινοῦ[6]) δεσπότου aditeúsas ἐκείνῳ προςπορίζει τὸν κλῆρον[7]). αὐτὸς γὰρ ἐκποιηθεὶς καὶ μὴ μείνας ὑπὸ τὴν ἐμὴν δεσποτείαν οὔτε ἐλεύθερος οὔτε κληρονόμος εἶναι δύναται, εἰ καὶ cum libertate ἦν ἡ ἔνστασις[8]). δοκεῖ γὰρ ὁ δεσπότης ἀφίστασθαι τῆς ἐπὶ τῇ ἐλευθερίᾳ δόσεως, καθότι αὐτὸν ἐξεποίησεν. ταῦτα μὲν ἐπὶ τοῦ ἡμετέρου[9])· εἰ δὲ τὸν ἀλλότριον οἰκέτην ἐνστήσωμαι κληρονόμον, εἰ μὲν μείνῃ[10]) παρὰ τῷ αὐτῷ[11]) δεσπότῃ κελεύσει αὐτοῦ τὴν κληρονομίαν aditeúωn αὐτῷ ταύτην προςπορίζει. εἰ δὲ ἐκποιηθῇ ζῶντος τοῦ διατιθεμένου ἤγουν καὶ μετὰ τελευτὴν πρὶν aditeúsῃ κατὰ κέλευσιν αὐτοῦ, τηνικαῦτα προστάξει τοῦ καινοῦ δεσπότου aditeúein δυνήσεται. εἰ δὲ ζῶντος τοῦ testátoros ἔτυχεν ὑπὸ τοῦ ἰδίου δεσπότου ὁ δοῦλος ἐλευθερωθεὶς[12]) ἢ

---

1) addidi ex M. 2) d. M. 3) M. m. 1 a. et. L^1.: boluntários M. m. 2 a. L^2. 4) οἷα Vi. R. 5) τὴν ἐλ. καὶ τὴν κλ. L^1. L^2. F. 6) νέου Vi. R. 7) τὴν κληρονομίαν Vi. R. 8) ἐνσταθεὶς Vi. R. 9) δούλου ad. Vi. R. 10) L^1.: cet. μένει. 11) αὐτῷ τῷ L^1. L^2. F. 12) θῆναι L^6.

post eius mortem quaesitum est an ualeret eiusmodi institutio; atque praedicti diui principes rescripserunt seruum adulterii criminis postulatum non iure testamento manumitti, antequam iudicium absoluatur, ab ea eius domina, quae tanquam eidem crimini obnoxia rea facta sit. itaque institutio in eiusmodi seruo nullius momenti est. cum alienum seruum recte nos instituere dixerimus, admonendus es illum quoque alienum esse seruum, in quo testator usumfructum habuerit.

1. 1. Cum autem seruum meum heredem instituam cum libertate uel sine libertate (neque enim interest uti dictum est), si quidem in mea manserit potestate liber fiet et necessarius heres: sin autem superuiuens testamento eum manumiserim, uoluntarius heres fiet, et in suo arbitiio erit utrum adeat necne. necessarius enim fieri non potest, cum utrumque ex domini testamento consequi nequeat, idest hereditatem et libertatem. quodsi eum non manumiserim set alienauerim, iussu noui domini adiens illi hereditatem quaerit. nam cum ipse alienatus sit neque in mea manserit potestate neque liber neque heres fieri potest, licet cum libertate sit institutus. uidetur enim dominus destitisse a libertatis datione, cum eum alienauerit. haec autem de seruo nostro. nam si alienum seruum heredem instituerim, si quidem apud eundem dominum manserit, iussu eius hereditatem adiens eam ipsi quaerit; sin autem manumissus fuerit uiuo testatore uel etiam post eius mortem, antequam iussu illius adierit, tunc iussu noui domini adire potest. si enim uiuo testatore a suo domino seruus manumissus fuerit, uel etiam post mortem ante

καὶ μετὰ τελευτὴν pro aditíonos ὡς ἐλεύθερος γεγονὼς κατὰ[1])
οἰκείαν ἐξουσίαν aditeúsei. 2. Ἔχε ταῦτα ὡς ἐν προθεωρίᾳ· 2.
ὧν τοὺς δεσπότας δυνάμεθα γράφειν κληρονόμους τούτων καὶ
τὸν οἰκέτην.[2]) ὁ γὰρ οἰκέτης ἀπρόσωπος ὢν ἐκ τοῦ οἰκείου
χαρακτηρίζεται δεσπότου.[3]) ὅρα λοιπὸν τὸ προκείμενον. Τίτιος
εἶχεν οἰκέτην λεγόμενον Στίχον· ἐνεστησάμην ἐγὼ τὸν εἰρημένον Στῖχον κληρονόμον οὕτως εἰπών· ἔστω μοι Στῖχος κληρονόμος[4]) μετὰ τελευτὴν Τετίου τοῦ οἰκείου δεσπότου. ζητῶμεν μή τι ἡ διαθήκη[5]) ἀνυπόστατός ἐστιν, ἐπειδὴ
Títios τελευτήσας οὐκ ἔστιν ἐν φύσει, ἵνα πρὸς αὐτὸν ὁ οἰκέτης χαρακτηρισθῇ. ἀλλ' ἤρεσεν ὥςτε τὴν ἔνστασιν[6]) ἔρρωσθαι· εἰ καὶ τὰ μάλιστα γὰρ οὐ περίεστιν ὁ Τίτιος ὁ γεγονὼς αὐτοῦ δεσπότης, ἀλλ' οὖν ὑπὸ τὸ ἀσώματον τελεῖ τῆς κληρονομίας καὶ hereditários ἐστιν ὁ[7]) οἰκέτης· μετὰ δὲ τῶν hereditaríωn οἰκετῶν ἔχομεν testamentifactíona· ἡ γὰρ κληρονομία μήπω aditeuθεῖσα πρόσωπον ἐπέχειν δοκεῖ τοῦ τελευτήσαντος, οὐ τοῦ ἐσομένου κληρονόμου. ὅτι γὰρ τοῦτο ἀληθές ἐστι δῆλον ἐντεῦθεν. ἐάν τις τελευτήσῃ παῖδα κυοφορούμενον καταλιπὼν τὸν τοῦ τελευτήσαντος οἰκέτην, καλῶς δύναμαι γράφειν κληρονόμον καὶ μήπω τεχθέντος τοῦ postúmu, καίτοι τὸν ἀλλότριον postûmon (ἀλλότριος δέ ἐστιν, ὃς τικτόμενος οὐκ ἔσται[8]) μοι sûos) οὐ συγχωροῦσι μοι γράφειν οἱ παλαιοὶ κληρονόμον.[a]) καίτοι εἰ τὸ ἀσώματον τῆς κληρονομίας τὸ[9]) πρόσωπον ἐπεῖχε τοῦ ἐσομένου κληρονόμου, οὐκ ὀρθῶς ὁ hereditários οἰκέτης ἐπὶ τοῦ
παρόντος θέματος ἐγράφετο[10]) κληρονόμος. 3. Πολλοί τινες 3.
ἐδέσπιζον ἑνὸς οἰκέτου[11]). δύναμαι τοῦτον γράφειν κληρονόμον καὶ ἐν ᾧ πρὸς πάντας ἔχω testamentifactíona, pro parte dominica[12]) ἑνὶ ἑκάστῳ ἡ ἐμὴ προςποριcθήσεται κληρονομία.

---

1) τὴν ad. Vi. F. R. 2) τοὺς οἰκέτας Vi. R. Item L[6]., qui l. τῶν δεσποτῶν οὓς δύναμαι κ. τ. λ. 3) ταῦτα προθεωρήσας Vi. R.: probabiliua exciderunt: ἐπειδή σοι ταῦτα προτεθεώρηται. 4) κληρ. Στ. Vi. R. 5) addidi cum Vi. R. 6) τῆς διαθήκης ad. Vi. R. 7) d. L[1]. L[6]. Vi. R. 8) ἐστι Vi. R. 9) d. M. 10) ἐγρ. κληρ. θέμ. Vi. R. 11) M.: ἑν. ἐδ. οἰκ. L[1]. L[2]. F.: ἐδ. οἰκ. ἑν. Vi. R. 12) τουτ. πρὸς τὰ μέρη τῆς δεσποτείας ad. Vi. R.

a) Gai. 2, 287.

2. aditionem, utpote homo liber suo arbitrio adibit. 2. Haec
in primis perspecta habeas. quorum cum dominis testamentifactionem habemus, hos seruos heredes scribere possumus. seruus enim cum nullam habeat personam, ex proprio domino formam recipit. en quod inde sequitur. Titio erat seruus nomine Stichus. hunc Stichum heredem institui hisce uerbis: esto mihi Stichus heres post mortem Titii domini sui. quaerimus an forte testamentum inutile sit, cum Titius mortuus in rerum natura non sit, ex cuius persona Stichus testamentifactionem accipiat. set magis placuit institutionem ualere. licet enim non uiuat Titius, qui eius dominus fuerat, tamen seruus in hereditate continetur et hereditarius est: cum seruis autem hereditariis testamentifactionem habemus. hereditas enim nondum adita personam optinere uidetur defuncti, non heredis futuri. hoc uerum esse inde patet quod si quis decedat filium postumum relinquens, defuncti seruum recte heredem instituere possum, licet postumus nondum sit natus; quamuis alienum postumum (alienus est qui natus mihi suus heres non fit) non permittant ueteres heredem instituere. si uero incorporalis hereditas futuri heredis personam sustineret, non recte in hoc casu
3. seruus hereditarius scriberetur heres. 3. Plures unius serui
domini cum sint, possum hunc heredem instituere et quatenus cum omnibus testamentifactionem habeam, pro portione
4. dominii unicuique mea quaeretur hereditas. 4. Possum et

4. *Δύναμαι καὶ ἕνα καὶ πολλοὺς εἰς ἀπέραντον γράφειν κλη-* 4.
ρονόμους. 5. a) *Ἡ κληρονομία ὡς ἐπὶ τὸ πλεῖστον εἰς δώδεκα* 5.
διαιρεῖται οὐγκίας. καὶ αὐτὴ μὲν ἡ πᾶσα κληρονομία as[1]) *προσαγορεύεται· ἔχει δὲ ἐν ἑαυτῇ ταῦτα τὰ μέρη ἰδιαζούσας ἔχοντα προσηγορίας ἀπὸ οὐγκίας μέχρι αὐτῆς τῆς λίτρας· ἔστι δὲ ταῦτα*[2])· uncia *τὸ δωδέκατον μέρος τῆς περιουσίας*[3]), sextans[4]) *τουτέστι τὸ διούγκιον, ὅπερ ἐστὶν ἕκτον μέρος*[5]), quadrans[6]) *τὸ*[7]) *τέταρτον, ὅπερ ἐστὶ τριούγκιον*[8]), triens[9]) *τρίτον, ὃ*[10]) *ποιεῖ τέσσαρας οὐγκίας,* quincunx *τρίτον δωδέκατον,*[11]) *ὃ ποιεῖ πέντε οὐγκίας·* semis *τὸ ἥμισυ ὃ ποιεῖ ἓξ οὐγκίας·* septunx *τὸ ἥμισυ*[12]) *δωδέκατον, ὃ ποιεῖ ἑπτὰ οὐγκίας·* bes *τὸ δίμοιρον, ὃ ποιεῖ ὀκτὼ οὐγκίας·* dodrans[13]) *τὸ*[14]) *δίμοιρον δωδέκατον, ὃ ποιεῖ ἐννέα οὐγκίας·* dextans[15]) *δίμοιρον ἕκτον, ὃ ποιεῖ δέκα οὐγκίας·* deunx *τὸ δίμοιρον τέταρτον, ὃ ποιεῖ ἕνδεκα οὐγκίας·* as[15]) *αἱ δώδεκα οὐγκίαι.*[17]) *οὐ*[18]) *πάντως*[19]) *δώδεκα οὐγκίας*[20]) *εἶναι δεῖ, ἐφ' ἃς*[21]) *ὁ* testátωr *διατίθεται· τοσαῦται γὰρ οὐγκίαι τὴν λίτραν ἀποτελοῦσιν, ὅσας ἂν ὁ διαθέμενος βουληθῇ.* b) *εἰ δὲ καὶ ἕνα τις ἐνεστήσατο κληρονόμον λόγου χάριν εἰς ἓξ οὐγκίας, ἡ πᾶσα λίτρα ἐν ταῖς ἓξ οὐγκίαις ἐστίν· οὐ γὰρ λέγομεν ὅτι ὁ μὲν* scriptos *τὰ ἓξ οὐγκίας λαμβάνει, οἱ δὲ ἐξ ἀδιαθέτου τὰς ἕξ. παγανὸς γὰρ κατὰ ταὐτὸ*[22]) *ἐκ διαθήκης καὶ ἐξ ἀδιαθέτου κληρονομεῖσθαι οὐ δύναται· στρατιώτης δὲ καὶ πάνυ.*

---

1) aes M. L 1. L 2. ed. ant. F. 2) d. L 1. L 2. F. 3) *κληρονομίας* Vi. R. 4) sextaniu L 1. sextanein L 2. 5) d. L 1. 6) quadras L 2. 7) *τὸν* L 2. 8) *τρεῖς οὐγκίαι* Vi. F 1. R. 9) *τὸ* ad. Vi. F. R. 10) *ὅπερ.* Vi. F. R. 11) *δωδεκάτου* M. m. 2 a. 12) *καὶ τὸ* ins. M. m. 2 a: de '*καί*' hic et deinceps iam cj. R. 13) dodras M. m. 1 a. 14) d. M. 15) dentrans L 1. dentras L 2. 16) aes M. asae L 1. L 2. 17) ita M. (qui tamen l. *οὐγκίας*): *ἤγουν δώδ. οὐγ.* L 1. L 2. L 18.: *ἤτοι ὅλον ἤγουν δώδ. οὐγκίας* F.: as *δώδ. οὐγκ.* Vi. R. 18) d. M. 19) *δὲ* ad. Vi. R. *δὲ δεῖ* h. l. L 6. 20) *τὴν περιουσίον* ad. Vi. R. 21) M.: *εἰς ἃς* L 1. L 2. F.: *εἰς ἣν* Vi. R. 22) *ταὐτὸν* Vi. F 1. R.

a) Cf. Epi. 33, 57. Proch. 30, 69. b) Cf. Epi. 33, 57 mire corrupte. Proch. 30, 70—73.

5. unum et plures in infinitum heredes instituere. 5. Hereditas plerumque diuiditur in XII uncias et ipsa tota hereditas as uocatur: amplectitur autem hasce partes proprias habentes appellationes ab uncia usque ad assem. est uncia duodecima pars bonorum: sextans, idest duo unciae, quae sextam efficiunt partem; quadrans i. e. quarta pars, hoc est tres unciae; triens seu tertia pars, quae quattuor uncias efficit; quincunx, idest pars tertia et duodecima, quae efficit uncias quinque; semis seu dimidia pars quae efficit uncias sex: septunx dimidium et uncia, idest unciae septem; bes binae tertiae partes, idest unciae octo; dodrans bes et uncia, idest unciae nouem; dextans bes et sextans idest decem unciae, deunx bes et quadrans idest undecim unciae; as duodecim unciae. non autem utique duodecim uncias esse oportet, in quas testator hereditatem diuidat. tot enim unciae assem efficiunt, quot testator uoluerit. et si unum quis heredem instituat uerbi gratia ex semisse, totus as in semisse erit; neque dicimus scriptum heredem semissem capere, eos autem qui ab intestato ueniant alterum semissem; paganus enim ex parte testatus et ex parte intestatus decedere nequit: miles autem

νόμος γὰρ αὐτοῖς ἐστιν ἐν ταῖς διαθήκαις ἢ βούληται ὡς ἔχει. a) *ἀμέλει στρατιώτης διατιθέμενος ἐὰν εἴπῃ ὅτι· ἔστω μου ὁ δεῖνα*[1]) *κληρονόμος εἰς τρεῖς οὐγκίας, τὰς ἐννέα οἱ ἐξ ἀδιαθέτου λαμβάνουσιν.* b) *δύναται δέ τις διατιθέμενος, ὥςπερ εἰς ἐλάττονας οὐγκίας συστέλλειν τὴν λίτραν, οὕτω καὶ εἰς πλείονας ἐκτείνειν αὐτήν· οἷον δύναται λέγειν· ὁ δεῖνα ἔστω μου κληρονόμος εἰς ὀκτὼ οὐγκίας καὶ ὁ δεῖνα εἰς ἑπτά.*

6. c) *Ἐὰν πολλοὺς γράφω κληρονόμους, θέλω δὲ αὐτοὺς ἐξ* 6 *ἴσου τὴν ἐμὴν διαδέξασθαι περιουσίαν, ἀρκεῖ τὸ* sine parte *γράψαι αὐτοὺς λέγοντα· ὁ δεῖνα καὶ ὁ δεῖνα καὶ ὁ δεῖνα ἔστωσαν μου κληρονόμοι, οὐγκίας μου*[2]) *γὰρ μὴ ὀνομάσάντος*[3]), *τὸ ἴσον αὐτοῖς προγενήσεται. εἰ δὲ θέλω ἐξ ἀνίσων μερῶν αὐτοὺς κληρονομῆσαι, τότε* ex certa parte *ἔδει*[4]) *αὐτοὺς γράφειν καὶ λέγειν· ὁ δεῖνα εἰς τέσσαρας ὁ δεῖνα εἰς ἕξ ὁ δεῖνα [καὶ ὁ δεῖνα*[5])] *εἰς οὐγκίαν ἔστωσαν κληρονόμοι. τί δὲ ὅτι πολλοὺς γράψας κληρονόμους ἐπί τινων μὲν ἐξεφώνησα τὸν οὐγκιασμὸν, ἐνεστησάμην δὲ ἕνα* sine parte;[6]) *ἆρα πόσον λήψεται ὁ* sine parte; *καὶ λέγομεν*[7]) *εἰ μὲν ὑπολιμπάνεταί τι τῇ λίτρᾳ, τυχὸν γὰρ* Prîmon *ἔγραψα κληρονόμον εἰς πέντε οὐγκίας,* Secûndon *εἰς τρεῖς,* Tértion *εἰς δύο, εἶπον δὲ καί·*[8]) Qúartos *ἔστω μου κληρονόμος, ἢ οὕτως·* Qúartos *καὶ* Qúintos *καὶ* Séxtos *ἔστωσαν*[9]) *κληρονόμοι, τότε λέγομεν ὅτι εἰς τὸ διούγκιον ὁ εἷς ἢ καὶ οἱ τρεῖς οἱ* sine parte *γραφέντες παραγενήσονται. εἰ δὲ ἔφθασα τὴν λίτραν δαπανήσας*[10]) *εἰς τοὺς τρεῖς, τὸν μὲν εἰς ἕξ, τὸν δὲ εἰς τέσσαρας, τὸν δὲ εἰς δύο γράψας κληρονόμους,*[11]) sine parte *δὲ ἐπήγαγον ἕνα ἢ καὶ πλείους, τότε, ἐπειδὴ οὐκ ἔστι τι ὑπολιμπανόμενον τῆς λίτρας εἰς ὃ δύνανται ἐλθεῖν οἱ* sine parte *γραφέντες.*

---

1) *ὁ* ad. M. 2) *οὐγκιασμοῦ* L^{1}. L^{18}. Epi.: *γὰρ μου* L^{6}. Vi. R. 3) *—ασθέντος* M. 4) M.: *δεῖ* F. L^{1}. L^{2}.: *αὐτ. γρ. χρὴ* Vi. R. 5) addidi meo periculo *ὁ δεῖνα εἰς οὐγκίας* P.: *εἰς ἕξ ἔστ.* Vi. R. qui tamen cj. ad. '*ὁ δεῖνα εἰς διούγκιον.*' longe aliter Epi. 6) *καὶ σίνε πάρτε ἕτερον* L^{6}. 7) *ὅτι* ad. Vi. R. 8) d. Vi. R. 9) M.: *μου* ad. L^{1}. L^{2}. F.: *μοι* Vi. R. 9) M.: cet. *—σαι.* 10) *—ον* Vi. R.

a) ib. 33, 58. b) ib. 33, 59. c) ib. 33, 60.

utique; lex enim in testamentis condendis est ipsis uoluntas, quaecumque sit. itaque miles si in testamento dicat: esto mihi ille heres ex quadrante, dodrantem ab intestato heredes capiunt. potest autem quis sicuti in pauciores uncias assem diuidere, ita et in plures eundem extendere. ueluti si dicat: esto ille mihi heres ex besse et ille ex septunce.

6. 6. Si plures instituam heredes, uelimque eos ex aequis partibus meam accipere hereditatem, sufficit eos sine parte heredes scribere, his fere uerbis: ille et ille et ille mihi heredes sunto. nulla enim uncia nominata, ex aequis partibus heredes erunt. sin autem uelim ex diuersis partibus eos heredes fieri, tunc ex certa parte eos instituere oportet, ut ecce: ille ex triente, ille ex semisse, ille [et ille] ex uncia heredes sunto. quid igitur si plures instituens heredes, partes in quorundam personis expresserim, quendam autem sine parte scripserim? quantum accipiet qui sine parte institutus est? et dicimus si aliqua pars assi desit, forte enim Primum ex quincunce heredem scripsi, Secundum ex quadrante, Tertium ex sextante, addidique: Quartus mihi heres esto, uel ita: Quartus et Quintus et Sextus heredes sunto, tunc ex sextante unum tresue qui sine parte scripti sunt heredes fieri. si uero totum assem iam consumpsi in illos tres, unum ex semisse, unum ex triente unum uero ex sextante heredem instituens, et unum pluresue addidi sine parte, tunc quia nihil assi deest, quod tribui possit sine parte scriptis, pars dimidia da-

τὸ ἥμισυ δοθήσεται τῷ sine parte ἤτοι τοῖς[1]) sine parte, ὡς δοκεῖν τὸν testátora εἰς εἴκοσι τέσσαρας οὐγκίας διατίθεσθαι, ὥςτε οὖν ὁ sine parte ἢ τὸ ἐλλεῖπον τῇ λίτρᾳ ἢ τὸ ἥμισυ τῆς λίτρας λαμβάνει. καὶ οὐ διαφέρομαι πότερον πρῶτος ἐγέγραπτο ὁ sine parte ἢ μετὰ πάντας ἢ ἐν μέσῳ πάντων· πανταχοῦ[2]) τὸ αὐτὸ ἔσται ἀποτέλεσμα. 7. Πολλοὺς ἐνεστησάμην 7.
κληρονόμους ex certa parte· οὐκ ἐδαπάνησα δὲ εἰς αὐτοὺς τὴν λίτραν, ἀλλ' ἔτι ὑπολιμπάνετό τι. ἄρα τὸ ὑπολειφθὲν τοῦτο[3]) εἰς τίνα παραγενήσεται; καὶ λέγομεν ὅτι σιωπηρῶς τοῖς γραφεῖσι προσαύξεται τὸ ὑπόλοιπον.[a]) οἷον τρεῖς ἐνεστησάμην κληρονόμους ἀπὸ τριῶν οὐγκιῶν,[4]) ὡς ὑπολιμπάνεσθαι ἄλλο[5]) τριούγκιον.[6]) τοῦτο σιωπηρῶς ἑκάστῳ τῶν scríptωn pro parte hereditaríᾳ προσαυξήσει καὶ εὑρίσκονται λοιπὸν ἐξ ἀποτελέσματος εἰς ἀνὰ[7]) τέσσαρας οὐγκίας γεγραμμένοι, ὡσανεὶ ἑνὸς ἑκάστου εἰς τὸ τρίτον τῆς λίτρας ἐνσταθέντος. εἰ δὲ ἐκ τοῦ ἐναντίου πολλοὺς ἐνστήσωμαι κληρονόμους ex certa parte καὶ ἐν τῇ ex certa parte γραφῇ[8]) ὑπερέβην τὰς δώδεκα οὐγκίας, σιωπηρῶς ἑνὸς ἑκάστου τὸ περιττὸν ἀπομειοῦται οἷον· [b]) τέσσαρας ἐνεστησάμην κληρονόμους ἀπὸ τεσσάρων οὐγκιῶν. ὁ νόμος ἐξ ἑνὸς ἑκάστου σιωπηρῶς ἀφαιρεῖται ἀνὰ οὐγκίαν καὶ[9]) ἐξ ἀποτελέσματος εὑρίσκονται ἀνὰ τρεῖς ἔχοντες οὐγκίας.[c]) 8. Ἐνε- 8.
στησάμην πολλοὺς κληρονόμους ex certa parte καὶ ὑπερέβην τὰς δώδεκα οὐγκίας, προςτέθεικα δὲ καὶ ἄλλον sine parte. ἄρα πόσον λήψεται ὁ sine parte; καὶ[10]) φαμὲν ὅτι ὅσον εἰς ἀναπλήρωσιν τῶν δύο λιτρῶν ὑπολιμπάνεται. οἷον εἰ[11]) εἶπον οὕτως· Prîmos ἔστω μοι κληρονόμος εἰς πέντε οὐγκίας[12]) Secûndos εἰς ἓξ Tértios εἰς ὀκτώ, ἔστω δὲ καὶ Quártos κληρονόμος, λέγομεν τὸν Quárton[13]) τὰς ὑπολοίπους πέντε οὐγκίας λαμβάνειν· δέκα ἐννέα[14]) γὰρ οὐγκίαι

1) ἢ τοῖς Vi. R. 2) γὰρ ad. F. 3) d. Vi. R. 4) τριουγκίου F. 5) τὸ ad. F. 6) τὸ τριούγκιον ad. Vi. 7) M. L1. L2 L6.: εἰς δ̄ F.: εἷς ἕκαστος ἀνὰ Vi. R. 8) L6. tantum: ἐν τῇ δὲ γραφῇ 9) d. M. 10) d. M. 11) d. Vi. R. 12) ad. M., d. cet. 13) Cúarton M. 14) M. L6.: δεκ. οὐγ. γὰρ L1. L2. F.: ἐννεακαίδεκα γὰρ οὐγκ. Vi. R.

a) Epi. 33, 61.: Proch. 30, 75–76. b) Epi. 33, 63. c) Epi. 33, 64.

bitur ei uel iis qui sine parte sunt scripti, quasi uideatur
testator in uiginti quattuor uncias assem diuisisse. ita-
que qui sine parte heres institutus est uel quod assi deest
uel semissem accipit. neque interest primus an nouissimus
an medius sine parte scriptus sit: omnimodo enim idem opti-
7. nebit. 7. Plures institui heredes ex certa parte; non con-
sumpsi in eos assem, set pars aliqua uacat. pars igitur quae
uacat ad quem spectabit? et dicimus partem uacantem tacite
scriptis heredibus adcrescere: ueluti si tres institui heredes
ex quartis partibus, ita ut quadrans reliquus sit. hic tacite
singulis scriptis heredibus pro parte hereditaria adcrescet et
perinde reapse ex triente instituti inuenientur, ac si singuli
in trientem essent scripti. et ex diuerso si plures instituerim
heredes ex certa parte atque in iisdem ex certa parte scri-
bendis duodecim uncias excesserim, tacite singulis decrescit
quod abundat. ut ecce quattuor scripsi heredes ex quater-
nis unciis: iure singulis singulae unciae detrahuntur, atque
8. fit ut quadrantem habere singuli inueniantur. 8. Plures he-
redes institui ex certa parte, atque excessi duodecim uncias;
addidi alium quoque sine parte. quantum accipiet qui sine parte
institutus est? ut ecce ita scripsi: Primus heres mihi
esto ex quincunce et Secundus ex semisse et Ter-
tius ex besse: esto mihi heres et Quartus. dicimus
Quartum quinque, quae supersunt, uncias accipere, nouemde-

τοῖς ex certa parte γραφεῖσι κατελείφθησαν. τὰ αὐτό ἐστιν
εἰ καὶ εἰς τοὺς τρεῖς ἐδαπάνησα τὰς δύο λίτρας καὶ μετὰ ταῦτα
ἐπήγαγόν τινα sine parte· μίαν λήψεται λίτραν, ὡς εἶναι τὰς
πάσας λ̅ς̅ οὐγκίας, καὶ[1] κ̅δ̅ δὲ ἤγουν[2] λ̅ς̅ εἰς δύναμιν μιᾶς
περιστῆναι λίτρας. 9. Κληρονόμον καὶ púrως καὶ ὑπὸ αἵρε- 9.
σιν γράφειν δύναμαι.[3] púrως μὲν· ἔστω ὁ δεῖνα κληρο-
νόμος· ὑπὸ αἵρεσιν δέ· ἔστω[4] ὁ δεῖνα κληρονόμος si
nauis ex Asia uenerit.[5] ex certo tempore ἢ ad cer-
tum tempus οὐκ ὀρθῶς γράφεταί τις κληρονόμος, οἷον· ἔστω
μου ὁ δεῖνα κληρονόμος μετὰ πενταετίαν τῆς ἐμῆς
τελευτῆς ἢ[6] ἀπὸ καλανδῶν μαρτίων.[7] ἢ ἐὰν εἴπῃ
οὕτως· ἔστω μου[8] ὁ δεῖνα κληρονόμος ἕως καλαν-
δῶν ἰανουαρίων. περιαρουμένου[9] γὰρ τοῦ χρόνου τοῦ ἀπὸ
καλανδῶν ἢ μέχρι καλανδῶν οὕτως ἔσται ἡ[10] γραφὴ ὡς pú-
rως γεγραμμένη. 10. Ἐνεστησάμην τινα κληρονόμον ὑπὸ ἀδύ- 10.
νατον αἵρεσιν[11], εἰπών· ἔστω μου ὁ δεῖνα κληρονόμος
ἐὰν πίῃ τὴν θάλασσαν, ἢ[12] καὶ ληγάτον ὑπὸ τοιαύτην αἵρε-
σιν κατέλιπόν τινι ἤγουν fideicómmisson, ἢ καὶ ἐλευθερίαν
οἰκέτῃ·[13] περιαιρέσει[14] τῆς ἀδυνάτου αἱρέσεως (ἀντὶ γὰρ[15]
μηδὲ γεγραμμένης παραλαμβάνεται)[16] púra ἀποτελεῖται τὰ
καταλειφθέντα. 11. Κληρονόμον ἐνεστησάμην τινὰ ὑπὸ πολλὰς 11.
αἱρέσεις. ζητῶμεν[17] εἰ δεῖ περιμένειν, ἕως ἂν πληρωθῶσιν
ἅπασαι.[18] καὶ λέγομεν εἰ μὲν coniunctim ἐγράφησαν (εἶπον
γάρ· ἔστω ὁ δεῖνα κληρονόμος ἐὰν ἀνέλθῃ[19] εἰς τὸ Κα-
πετόλιον ἢ[20] καὶ[21] ἡ ναῦς ἔλθῃ ἀπὸ τῆς[22] Ἀσίας καὶ
ὁ δεῖνα γένηται ὕπατος) δεῖν[23] πασῶν ἀναμένειν τὴν ἔκβα-

---

1) add. ex M. L^1. L^2., qui habet καὶ εἰ. 2) αἱ ad. M. 3) —νάμεθα Vi. R., καὶ ins. L^6. 4) μου L^1. L^2. F. μοι Vi. R. 5) εἰ δὲ ad. Vi. R 6) d. M. Vi. 7) M.: cet. ἰανουαρίων. —ίου hic et. deinc. L^6. 8) μοι Vi. R. 9) περαιουμένου Vi. ed. ant. F. 10) d. L^1. L^2. F. 11) ὑπὸ ἀδ. αἱρ. κλ. Vi. R. 12) ἤγουν Vi. R. 13) —του M. 14) ἀναιρέσει M. m^2a. 15) d. Vi. R. 16) καὶ ad. Vi. F. R. 17) M.: cet. —τοῦμεν. 18) ἕως οὗ πλ. αἱ πᾶσαι Vi. R. 19) ἔλθῃ M. L^1. L^6. 20) add. ex M. 21) εἰ ins. Vi. R. 22) d. Vi. R. 23) ita pro uulg. δεῖ scripsi.

cim enim unciae heredibus ex certa parte institutis relictae sunt. idem est etiam si in tres dipondium consumpserim ac deinde quendam sine parte addiderim. nam assem unum sibi habebit, ita ut in XXXVI uncias tota deducatur hereditas, atque XXIIII seu XXXVI unciae unum expleant assem.
9. 9. Heredem et pure et sub condicione instituere possum. pure quidem hoc modo: ille mihi heres esto; sub condicione autem: ille mihi heres esto, si nauis ex Asia uenerit. ex certo tempore uel ad certum tempus non recte quis heres scribitur, ut ecce: ille mihi heres esto post quinquennium quam moriar uel ex kalendis martiis. uel si quis ita dicat: ille mihi heres esto usque ad kalendas ianuarias. pro superuacuo enim habito tempore quod a kalendis uel usque ad kalendas est, perinde
10. erit institutio, ac si pure esset facta. 10. Institui quendam heredem sub condicione impossibili, hoc modo: ille mihi heres esto si mare ebiberit, uel cuidam legatum fideiue commissum sub eiusmodi condicione reliqui, uel seruo libertatem. detracta enim impossibili condicione, quae nec pro scripta ha-
11. betur, pura efficiuntur quae heredi relicta sunt. 11. Heredem quendam sub pluribus condicionibus institui. quaeritur an expectandum sit donec omnes sint impletae. et dicimus si quidem coniunctim scriptae sunt (dixi enim: ille mihi heres esto si in Capitolium adscenderit et si nauis ex Asia uenerit et si ille consul factus erit), oportere omnium expectare euentum; sin autem separatim eas

σιν. εἰ δὲ separatim [1]) ταῦτα ἔγραψα εἰπών· ἔστω[2]) ὁ δεῖνα κληρονόμος ἐὰν ἀνέλθῃ εἰς τὸ Καπετόλιον ἢ[3]) ἐὰν δῷ Titíῳ ῑ νομίσματα, οἷαν βούλεται ἐξ αὐτῶν ἀποπληρῶν γενήσεται κληρονόμος. 12. Ἰσχυρῶς τις γράφει κληρονόμους 12. καὶ ἐκείνους οὓς[4]) οὐδέποτε ἐθεάσατο. οἷον, εἶχέ τις ἀδελφὸν ἐπὶ ξένης διάγοντα, ἐπαιδοποίησεν οὗτος, δύναται τοὺς παῖδας τοῦ ἀδελφοῦ, οὓς οὐκ ἐθεάσατό ποτε[5]) γράφειν ὀρθῶς[6]) κληρονόμους, ἡ γὰρ περὶ τὸν κληρονόμον ἄγνοια τοῦ διατιθεμένου τὴν ἔνστασιν οὐκ ἀκυροῖ.

De uulgari substitutione.[7]) Titulus 15.

Ἀκώλυτόν ἐστι τῷ διατιθεμένῳ καὶ ἔνστασιν ποιήσασθαι καὶ ὑποκατάστασιν καὶ ἁπλῶς πολλοὺς ποιήσασθαι βαθμοὺς κληρονόμων.[8]) a) βαθμὸς δὲ λέγεται κληρονόμων ὁ ἔχων τὰς δώδεκα οὐγκίας. ἔξεστι γὰρ ἡμῖν οὕτω διατίθεσθαι· ἔστω Prîmos κληρονόμος, ἐὰν δὲ μὴ γένηται Prîmos κληρονόμος, ἔστω Secûndos, ἐὰν δὲ μὴ γένηται Secûndos, ἔστω Tértios, εἰ δὲ μη γένηται[9]) Tértios, ἔστω Qúartos.[10]) καὶ εἰς ἀπέραντον ὑποκαθιστᾶν δυνάμεθα καὶ ἐν τελευταίῳ τόπῳ ἤτοι βαθμῷ ὡς εἰς ἐσχάτην βοήθειαν, οἰκέτην ἡμέτερον ἐνίστασθαι[11]) δυνάμεθα, ἵνα εἰ συμβῇ πάντας παραιτήσασθαι, ὁ οἰκέτης ἐξ ἀνάγκης κληρονομῇ. 1. Δυνάμεθα δὲ 1. ἕνα[12]) ἑνὶ ὑποκαθιστᾶν καὶ ἑνὶ πολλοὺς καὶ πολλοῖς ἕνα καὶ πολ-

---

1) καὶ [ἢ M.] διαζευκτικῶς add. libri: expunxi ut gloss. 2) μου ad. L1. L2. F. 3) d. F2.: νόμισμ. τόσα pro ῑ νομ. l. L6. 4) ἂν ad. Vi. R. 5) πώποτε Vi. R. 6) d. M. 7) Περὶ χωρικῆς ὑποκαταστάσεως ἤγουν πληθυντικῆς M. L6. περὶ πληθ. ὑπ. L1. L2. περὶ χ. ἤγ. πλ. ὑπ. L18. F. (qui l. ἤτοι pro ἤγουν) περὶ χ. ὑπ. Vi. R.
8) ποιήσ. κληρονόμους M. 9) d. Vi. R. 10) Ita M. L1.
11) ἐνστήσασθαι L6. L18. 12) ἑνὶ ἕνα Vi. F. R.
a) Cf. Proch. 31, 2.

scripsi, hoc modo: ille heres esto si in Capitolium adscenderit, aut si Titio aureos C dederit, alterutri,
12. uti libuerit, parendo heres fiet. 12. Utiliter quis eos quoque heredes scribit quos nunquam uiderit. ut ecce quis fratrem habuit peregre degentem, qui liberos suscepit: potest fratris liberos quos nunquam uiderit recte heredes instituere. testatoris enim circa heredem ignorantia institutionem non infirmat.

De uulgari substitutione. Titulus 15.

Nihil obstat quominus testator et heredem instituat et quendam substituat et in summa plures faciat heredum gradus. gradus autem heredem dicitur qui XII uncias in se continet. licet enim nobis ita testari: Primus heres esto, nisi Primus heres fiat, Secundus esto, nisi Secundus heres fiat, Tertius esto, nisi Tertius, esto Quartus. atque in infinitum substituere possumus et in postremo loco seu gradu tamquam in ultimum subsidium seruum nostrum possumus instituere, ita ut si omnes recusent, seruus certe
1. necessario heres fiat. 1. Possumus in unius locum unum substituere, uel in unius plures, uel in plurium unum, set et in plu-

λοῖς πολλούς. ἑνὶ ἕνα, οἷον· ἔστω Prîmos κληρονόμος· εἰ δὲ μὴ γένηται Prîmos κληρονόμος[1]), ἔστω Secûndos. ἑνὶ πολλοὺς οὕτως· ἔστω Prîmos κληρονόμος· εἰ δὲ μὴ γένηται, Secûndos καὶ Tértios ἔστωσάν μοι κληρονόμοι. πολλοῖς ἕνα ὑποκαθιστῶμεν οὕτως· Prîmos καὶ Secûndos ἔστωσάν μοι[2]) κληρονόμοι, εἰ δὲ μὴ γένωνται, ἔστω μοι Tértios κληρονόμος. καὶ πολλοῖς πολλοὺς·[3]) Prîmos καὶ Secûndos ἔστωσάν μοι κληρονόμοι· εἰ δὲ μὴ γένωνται, Tértios καὶ Qúartos ἔστωσάν μοι κληρονόμοι. δυνάμεθα καὶ inuicem τοὺς κληρονόμους ἀλλήλοις ὑποκαθιστᾶν, οἷον· ἔστω μοι κληρονόμος[4]) Prîmos εἰς ἓξ οὐγκίας καὶ Secûndos εἰς ἓξ οὐγκίας,[5]) ἐὰν δὲ[6]) μὴ γένηται Prîmos, ἔστω[7]) Secûndos[8]) εἰς τὸ αὐτοῦ μέρος· ἐὰν δὲ Secûndos μὴ aditeúsῃ ἔστω Prîmos ὑποκατάστατος εἰς τὸ Secûndu μέρος. 2. Εἰ δὲ καὶ ἐξ ἀνίσων μερῶν γράφας τινὰς 2. κληρονόμους, οἷον τὸν μὲν εἰς ἑπτά,[9]) τὸν δὲ εἰς πέντε, inuicem αὐτοὺς ὑποκατέστησα·[10]) οὐδεμίαν μνήμην ἐν τῇ ὑποκαταστάσει οὐγκιασμοῦ ποιησάμενος, τοσαύτας λήψεται ὁ ὑποκατάστατος, ὅσας ἤμελλε λαμβάνειν εἴγε ᾐdíteusen ἐκεῖνος, οὗ γέγονεν οὗτος[11]) ὑποκατάστατος. ἐὰν γὰρ συμβῇ aditeûsai τὸν εἰς πέντε οὐγκίας γεγραμμένον, παραιτήσασθαι δὲ τὸν εἰς τὰς[12]) ἑπτά, οὐ δεῖ λέγειν ὅτι πέντε οὐγκίας λήψεται ὁ Prîmos ἐκ τῆς ὑποκαταστάσεως, ἀλλ' ἑπτά. τοσαύτας γὰρ Secûndos[13]) ἤμελλε λαμβάνειν. 3. Ἐνεστήσατό τις Prîmon κληρονόμον εἰς ἓξ 3. οὐγκίας καὶ Secûndon εἰς ἓξ· εἶπε δὲ οὕτως· ἐὰν μὴ γένηται Secûndos κληρονόμος, ἔστω Prîmos κληρονόμος· εἰ δὲ μὴ γένηται κληρονόμος Prîmos, ἔστω Tértios[14]). Σεβῆρος καὶ Ἀντονῖνος ἀντέγραψαν[15]) τὸν Tértion

---

1) ad. ex M. 2) d. L^{1}. L^{18}. L^{6}.: οἷον ins L^{18}. οὕτως L^{6}. 3) M. L^{18}.: cet. —λοὺς π—οῖς. 4) ὁ ad. F^{2}. 5) haec d. F^{2}. 6) d. M. F^{2}.: εἰ δὲ L^{1}. 7) ἔσται M. 8) καὶ ad. Vi. F^{1}. R. 9) ἓξ Vi. 10) —σεν Vi. R. 11) d. L^{18}. 12) d. L^{18}. Vi. R.: τὰ F. 13) aditeúων L^{1}. L^{18}. Vi. R. (gr. litt.) 14) M.: cet. εἰ δὲ μὴ. γ. P. ἔστ. T. κλ. 15) πρὸς ad. L^{6}.

rium plures. in unius locum unum, ut ecce: Primus he-
res esto, nisi Primus heres fiat, Secundus heres
esto. in unius locum plures, ita: Primus heres esto,
nisi fiat, Secundus Tertiusque mihi heredes sunto.
pluribus unum ita substituimus: Primus Secundusque
mihi heredes sunto, ni fiant, Tertius mihi heres
esto. pluribus plures, ueluti: Primus Secundusque he-
res sunto, ni fiant, Tertius Quartusque mihi he-
redes sunto. possumus et inuicem heredes sibi substituere
hoc modo: Primus heres mihi esto ex semisse et Se-
cundus ex semisse; si Primus heres non fiat, heres
esto Secundus in eius partem; nisi Secundus adeat,
2. esto Primus in Secundi partem substitutus. 2. Et
si heredes ex disparibus partibus scriptos, ut ecce alterum
ex septunce, alterum ex quincunce, inuicem substituero,
nulla partium mentione in substitione habita, tot accipiet
uncias substitutus, quot accepturus fuisset si adiisset ille
cui substitutus est. nam si adierit qui ex quincunce insti-
tutus est, recusauerit autem qui ex septunce est scriptus,
non est dicendum quincuncem esse Primum accepturum ex
substitutione, set septuncem. tot enim unciam fuisset Secun-
3. dus accepturus. 3. Heredem quis Primum instituit ex se-
misse et Secundum item ex semisse, addiditque: nisi Se-
cundus heres fiat, Primus heres esto, nisi Primus
heres fiat, Tertius esto. Seuerus et Antoninus rescrip-

ἀδιαστίκτως δύνασθαι κληρονομεῖν, εἴτε Prîmos *μόνος εἴτε* Prîmos[1]) *καὶ* Secûndos *οὐκ*[2]) *ἐκληρονόμησαν.* 4. *Τὸν σὸν* 4. *οἰκέτην νομίσας αὐτεξούσιον εἶναι ἐνεστησάμην κληρονόμον· ἐπήγαγον δὲ οὕτως· εἰ δὲ μὴ γένηταί μοι κληρονόμος. ἔστω* Maëuios *κληρονόμος. μετὰ τὴν ἐμὴν τελευτὴν ἐκέλευσάς σὺ τὸν*[3]) *οἰκέτην τὸν σόν,*[4]) *ὃν ἐνεστησάμην κληρονόμον,*[5]) aditeûsai. *ζητῶμεν*[6]) *εἰ χώρα γίνεται τῇ ὑποκαταστάσει· καὶ λέγομεν ὅτι ὁ ὑποκατάστατος τὸ ἥμισυ λαμβάνει. ἀλλ' ἔχει τις εἰπεῖν, ὅτι δεῖ τὸν ὑποκατάστατον τὸ ὅλον λαμβάνειν· ὁ γὰρ* testátωr *εἶπεν· ἔστω μου*[7]) *ὁ δεῖνα κληρονόμος, εἰ δὲ μὴ γένηται, ἔστω*[8]) Maeuios· *οὐκοῦν ἐνταῦθα, ἐπειδὴ ὁ* institûtos[9]) *οἰκέτης ὢν οὐκ ἠδύνατο γενέσθαι κληρονόμος, ἔδει τὸν ὑποκατάστατον εἰς ὁλόκληρον καλεῖσθαι. ἀλλὰ δεῖ πρὸς τοῦτο λέγειν, ὅτι τὰ ῥήματα ἐκεῖνα* si heres non erit,[10]) *εἰ μὲν ὑπεξούσιός ἐστιν ὁ* institûtos *καὶ τοῦτο οἶδεν ὁ* testátωr, *οὕτω νοεῖν ὀφείλομεν, τουτέστιν εἰ μήτε αὐτὸς ὁ* institûtos *γένηται κληρονόμος μήτε ἕτερον ποιήσῃ κληρονόμον, τουτέστι μὴ προσπορίσῃ, ὥςτε*[11]) *χώραν λαμβάνειν τὴν ὑποκατάστασιν. ἐπὶ δὲ τοῦ* institútu *ἐκείνου, ὃν αὐτεξούσιον ὁ διαντιθέμενος*[12]) *ἐνόμιζεν εἶναι, τοῦτο σημαίνει τὸ* »si heres non erit«, *ἐὰν τὴν κληρονομίαν ἑαυτῷ, ἤγουν ἐκείνῳ, οὗ μετὰ ταῦτα ὑπεξούσιος εἶναι ἄρξεται, μὴ προσπορίσῃ, ὥςτε τότε*[13]) *χώραν λαμβάνειν τὴν ὑποκατάστασιν εἰς ὁλόκληρον. ἐνταῦθα δὲ ἐπειδὴ ἤδη ὑπεξούσιος ἦν ὁ νομισθεὶς εἶναι αὐτεξούσιος, διὰ τοῦτο τὸ ἥμισυ ὁ ὑποκατάστατος λαμβάνει καὶ τοῦτο ὁ θειότατος ἀντέγραψεν Ἀντονῖνος*[14]) *ἐπὶ Παρθενίου τοῦ ἰδίου οἰκέτου. Παρθένιον γὰρ τὸν τοῦ βασιλέως οἰκέτην νομίσας τις ἐλεύθερον εἶναι, ἐνεστήσατο κληρονόμον ὑποκαταστήσας καὶ εἰπών·*

---

1) d. M. 2) d. G. F. 3) ad. ex M. L 18. 4) *τὸν σὸν οἰκ.* L 1. L 6. Vi. R. 5) *—κληρονομίαν* Vi. R. 6) *—τοῦμεν* libri. ed. 7) *μοι* L 18. 8) d. M. 9) *ἤγουν ὁ ἔνστατος* ad. Vi. R. 10) *τουτ. ἐὰν κληρονόμος οὐ γένηται* ad. L 18. Vi. R. 11) *τότε* ad. L 1. L 18., L 6. quam uocem post *λαμβ.* ad. Vi. R. 12) *διαθ.* Vi. R. 13) d. L 6. L 18. Vi. R. 14) Ita M. L 1. L 2. L 6. L 18. Pi. F. (ex tribus paris. cf. F 2. 280) et Vi. (ex Marciano): *Πῖος* Vi. in emend. ed. ant. F. R. W.

serunt Tertium pariter heredem esse posse, siue Primus tan-
4 tummodo siue etiam Secundus heredes facti non fuerint. 4. Seruum tuum liberum esse existimans heredem institui, adiecique: si heres mihi non erit, Maeuius heres esto. post mortem meam iussisti heredem tuum quem heredem instituerum, hereditatem adire. quaeritur an locus substitutioni fiat. et magis est ut substitutus dimidiam partem accipiat. set erit qui dicat substitutum totum sibi capere oportere, cum testator dixerit: ille mihi heres esto, si Maeuius non erit. nonne igitur cum institutus, utpote seruus, heres fieri non potuerit, substitutum ad uniuersam hereditatem uocare oportebit? set ad haec respondendum est uerba illa »si heres non erit«, si qui institutus est alieni est iuris, idque testator nouerit, ita esse accipienda si neque ipse institutus heres erit, neque alium heredem effecerit, idest ei quaerat hereditatem, ut locum habeat substitutio. de illo autem instituto, quem testator patremfamilias esse arbitrabatur, uerba »si heres non erit« illud significant, si hereditatem sibi eiue cuius iuri subiectus postea esse coeperit non adquisierit, ut locus substitutioni in assem fiat. hic autem, cum iam alieni iuris esset qui sui iuris esse crederetur, ideo semissem substitutus accipiet, idque diuus Antoninus rescripsit in persona Parthenii serui sui. Parthenium enim Caesaris seruum putans quis liberum esse heredem instituerat, substitu-

ἐὰν[1]) μὴ Παρθένιος γένηταί μου κληρονόμος, ἔστω **Maéuios** κληρονόμος. καὶ γέγονε τότε διάταξις ὥςτε τὸ μὲν ἥμισυ τῆς κληρόνομίας διὰ τοῦ Παρθενίου προσπορισθῆναι τῷ βασιλεῖ, εἰς δὲ τὸ ἕτερον ἥμισυ κληθῆναι **Maéuion** τὸν ὑποκατάστατον. a)

De pupillari substitutione.[2]) Titulus 16.

Οὐ μόνον ἐξωτικοῖς γραφομένοις κληρονόμοις δυνάμεθα ὑποκαθιστᾶν, ἀλλὰ καὶ τοῖς ἡμετέροις παισὶ λέγοντες οὕτως· ὁ δεῖνα ὁ υἱός μου ἔστω κληρονόμος, εἰ δὲ μὴ γένηται, ἔστω μοι ὁ δεῖνα κληρονόμος. καὶ λέγεται αὕτη uulgaría[3]) ὑποκατάστασις, ἁρμόζει γὰρ ἐπὶ παντὸς, τοῦτο μὲν ἐξωτικοῦ τοῦτο δὲ καὶ παιδός. ἀλλ' ἐπὶ μὲν ἐξωτικοῦ ἐν πολλοῖς θέμασι δύναται χώραν λαβεῖν ἡ ὑποκατάστασις, οἷον, ἐὰν ὁ institûtos προτελευτήσῃ τοῦ testátoros ἢ repudiateúsῃ[4]) τὴν κληρονομίαν ἢ, ὑπὸ αἵρεσιν γραφέντος αὐτοῦ, ἀτονήσῃ ἡ αἵρεσις. ἐπὶ δὲ τοῦ υἱοῦ ἐν[5]) ἑνὶ μόνῳ θέματι χώρα γίνεται τῇ ὑποκαταστάσει, οἷον ἐὰν τελευτήσῃ ὁ ὑπεξούσιος πρὸ τοῦ οἰκείου πατρὸς τοῦ καὶ[6]) διαθεμένου. εἰ γὰρ τελευτήσῃ ὁ πατὴρ πρὸ τοῦ παιδὸς, οὐ χώρα γίνεται τῇ ὑποκαταστάσει· ἀναφαίνεται γὰρ εὐθέως κληρονόμος τῷ πατρὶ καὶ οὐδὲ εἰ[7]) abstinateúsῃ ἑαυτὸν ἀποτίθεται τὸ ἀσώματον ὄνομα[8]). τὸ γὰρ ἀσώματον ὄνομα[9]) τῆς κληρονομίας ἅπαξ ἐμπαγέν τινι δυσχερῶς ἐφ' ἕτερον μετέρχεται. ἐστὶ δὲ καὶ ἑτέρα ὑποκατάστασις ἥτις προβαίνει ἐπὶ τῶν ἡμετέρων παίδων καὶ οὐ μόνον[10]) παίδων, ἀλλὰ

1) δὲ Vi. R. ad. 2) περὶ ὀρφανικῆς ὑποκαταστ. ed. 3) L^1.: uulcaría M.: bulgaría L^2. 4) ἤγουν παραιτήσηται ad. Vi. R. 5) d. L^1. L^2. F. 6) καὶ τοῦ F. τοῦ simpl. L^6. Vi. R. 7) d. Vi. R., qui cj. ἀβστινατεύων. 8) d. M. L^6. 9) τὸ ἀσ. γ. ὄν. Vi. R. 10) —ων M.

a) Cf. Epi. 33, 12. Proch. 31, 2.

tione his uerbis facta: si Parthenius heres non erit, Maeuius heres esto. et lata est tunc constitutio ex qua dimidiam hereditatem Parthenius principi quaereret, in alteram uero dimidiam Maeuius, utpote substitutus, uocaretur.

De pupillari substitutione. Titulus 16.

Non solum extraneis heredibus substituere possumus, set liberis quoque nostris hoc modo: filius meus ille heres esto; si non erit, ille mihi heres esto, diciturque haec uulgaris substitutio: omnibus enim conuenit tam extraneo quam filio. set in extraneo quidem multis casibus substitutio locum habere potest, ueluti si institutus ante testatorem moriatur uel hereditatem repudiet, uel, sub condicione eo instituto, condicio deficiat. in filio autem uno tantummodo in casu substitutioni locus fit, idest si moriatur filius familias ante patrem suum, qui testamentum fecerit. nam si pater ante filium moriatur, non fit locus substitutioni, existit enim illico patri heres neque se abstinendo nomen heredis deponit; incorporale enim heredis nomen cum semel alicui haereat non facile in alium transit. Est autem alia substitutio quae in liberis nostris procedit, neque in liberis tantum set in his quos

καὶ ὑπεξουσίων, καὶ οὐ μόνον[1]) *ὑπεξουσίων, ἀλλὰ καὶ* **súαn** *ἀνήβων. λέγεται δὲ* **pupillaría** *ἐκ τῆς ἡλικίας ἐφ' ᾗ καὶ* **tractaízetai**[2]). *καὶ δυνάμεθα τὴν* **pupillarían** *ὑποκατάστασιν οὕτω ποιεῖν· ἔστω μου ὁ υἱὸς κληρονόμος· εἰ δὲ γενόμενος, ἄνηβος τελευτήσῃ, ἔστω αὐτοῦ ὁ δεῖνα κληρονόμος*[3]) *καὶ ἐὰν ὁ παῖς γενόμενος κληρονόμος ἄνηβος τελευτήσῃ, χώρα γίνεται τῇ ὑποκαταστάσει. ἔξεστι δὲ μίξαι τῇ* **pupillaríᾳ** *τὴν* **uulgarían** *καὶ ποιῆσαι τὴν λεγομένην* **uulgaropupillarían,**[4]) *οὕτως· ἔστω μου ὁ υἱὸς κληρονόμος, ἐὰν δὲ μὴ γένηται (ὅπερ ἐστὶν ἴδιον* **uulgarías**) *ἢ γενόμενος ἄνηβος τελευτήσῃ (ὅπερ ἐστὶν ἴδιον* **pupillarías** *ὑποκαταστάσεως) ἔστω μου ὁ δεῖνα κληρονόμος. καὶ*[5]) *τί λέγεις; προετελεύτησεν ὁ παῖς τοῦ πατρός· ἐκ τῶν προτέρων ῥημάτων ὁ ὑποκατάστατος*[6]) *γίνεται κληρονόμος τοῦ πατρός. ἀλλ' εἰ ὁ πατὴρ προετελεύτησεν, ἀναφανεὶς δὲ κληρονόμος ὁ παῖς ἄνηβος ἐτελεύτησε, χώρα γίνεται τῇ* **pupillaríᾳ** *ὑποκαταστάσει ἀπὸ τῶν δευτέρων ῥημάτων καὶ γίνεται κληρονόμος ὁ ὑποκατάστατος οὐ τοῦ πατρός, ἀλλὰ τοῦ*[7]) *παιδός. τοῦτο δὲ τὸ τῆς* **pupillarías** *ὑποκαταστάσεως οὐκ ἀπὸ ἰδικοῦ νόμου ἐπινενόηται, ἀλλ' ἐξ ἀγράφου συνηθείας εἰσενήνεκται.*[8]) *ἐπειδὴ γάρ*[9]) **púpilloi** *ὄντες οὐκ ἠδύναντο διατίθεσθαι, ὑπερ αὐτῶν οἱ πατέρες*[10]) *διετύπουν τὰς διαθήκας.* 1. *Ἐκ τοῦ τοιούτου κινηθεὶς λογισμοῦ ὁ θειότατος* 1.
ἡμῶν βασιλεὺς ἐξεφώνησε διάταξιν ἣν καὶ ἐγγραφῆναι τῷ οἰκείῳ προσέταξε **códici,** *ἐν ᾗ πρόνοιαν καὶ τοῦ τοιούτου θέματος ἐποιήσατο. φησὶ γὰρ ἐάν τις μεμηνότας ἤγουν παραφρονοῦντας ἔχει υἱοὺς ἢ ἐκγόνους ἢ προεκγόνους οἱασδήποτε φύσεως ἢ*[11]) *οἱουδήποτε βαθμοῦ, ἐξέστω αὐτῷ, εἰ καὶ εἶεν ἔφηβοι, πρὸς μίμησιν*

---

1) *—ων* M. 2) ita scr. L^6. Vi. R. *ἐφ' ᾧ καὶ τρ.* L^1. L^2. F. *ᾗ* M. 3) *εἰ δὲ ἄνηβος τελευτήσῃ ἔστω μοι κληρονόμος ὁ Πρῖμος. εἰ μὲν ἡβήσας ἀποθάνῃ, σβέννυται ἡ ὑποκατάστασις. εἰ δὲ γενόμ. κληρ.* cet. F. 4) M. L^1. L^2.: *βουλγαροπ.* L^6. Vi. R.: *βουλγαρι π.* F. 5) d. Vi. R. 6) *παραγίνεται καὶ* ins. Vi. R. 7) *τελευτήσαντος* ins. Vi. F^1. R. 8) *εἰσῆκται* Vi. R. 9) d. Vi. 10) *οἱ πατ. ὑπ. αὐτ.* L^1. L^2. F.: *τοὺς πατέρας δίκαιον ἐνομίσθη διατυποῦν* Vi. R. 11) d. M.

in potestate habemus, neque in his tantum, set in suis impuberibus. dicitur autem pupillaris ex ea aetate in qua usuuenit. Substitutionem igitur pupillarem ita facere possumus: filius meus mihi heres esto, sin autem heres factus impubes decesserit, ille ei heres esto. et si puer heres factus impubes moriatur, locus fit substitutioni. licet autem pupillari substitutioni uulgarem coniungere eamque facere quam uulgarempupillarem uocant, hoc modo: filius mihi heres esto, nisi erit (quod proprium est uulgaris substitutionis), uel si heres factus impubes decesserit (quod proprium est pupillaris substitutionis) ille mihi heres esto. quid ais? si filius ante patrem decesserit, ex prioribus uerbis substitutus uocabitur fietque patri heres. set si pater antea mortuus sit, factus autem heres puer impubes decesserit, locus fiet pupillari substitutioni ex sequentibus uerbis fietque heres substitutus non patris set filii. id autem ius pupillaris substitutionis nulla propria lege inuentum est, set moribus est introductum. cum enim pupilli testamentum facere non possent, pro eis parentes testamenta
1. condebant. 1. Qua ratione sanctissimus princeps noster excitatus constitutionem promulgauit, quam inseri quoque in suo codice iussit, in qua de eiusmodi casu prospexit. ait enim si quis furiosos dementesue filios uel nepotes uel pronepotes habeat cuiuslibet sexus uel cuiuslibet gradus, licere ei, etsi puberes sint, ad exemplum pupillaris substitutionis is-

τῆς pupillarías ὑποκαταστάσεως ῥητὰ πρόσωπα ὑποκαθιστᾶν[1]), εἴγε συμβῇ τοὺς τοιούτους παῖδας ἐν τῷ τῆς παραφροσύνης τελευτῆσαι πάθει. εἰ δὲ ἀνανήψωσιν, ἀκυροῦσθαι τὴν ὑποκατάστασιν ἐκέλευσεν. τοῦτο δὲ πρὸς ὁμοίωσιν τῆς pupillarías ὑποκαταστάσεως ηὗρεν, ἥτις ἅμα τῷ ἔφηβον γενέσθαι τὸν púpillon ἀκυροῦται. 2. Ἐν ᾧ δὲ κατὰ τὸν παραδεδομένον τόπον ἡ pupillaría 2. ὑποκατάστασις διατυπωθῇ, δύο τρόπον τινὰ διαθῆκαί εἰσιν, ἡ μὲν ἀπὸ τοῦ πατρὸς εἰς τὸν παῖδα γενομένη, ἡ δὲ ἀπὸ τοῦ παιδὸς εἰς[2]) τὸν ὑποκατάστατον, ὥςπερ εἰ αὐτὸς ὁ υἱὸς ἑαυτῷ κληρονόμον ἐνεστήσατο. ἢ μᾶλλον (εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν) μία μέν ἐστι διαθήκη, δύο δὲ κληρονομίαι, ἡ μὲν ἀπὸ τοῦ πατρὸς εἰς τὸν παῖδα καταφερομένη, ἡ δὲ ἀπὸ τοῦ παιδὸς εἰς τὸν ὑποκατάστατον ἐρχομένη. πάντα γὰρ ὅσα διεδέξατο ὁ púpillos ἐκ τοῦ πατρὸς ἢ καὶ αὐτὸς ἐπεκτήσατο μετὰ τελευτὴν τοῦ πατρὸς ἐπὶ τὸν ὑποκατάστατον μετέρχεται. ὅτι γὰρ μία διαθήκη ἐστὶ δῆλον ἐξ ὧν ἑπτὰ μόνον μάρτυρες παραλαμβάνονται, καίτοι εἰ δύο ἦσαν διαθῆκαι[3]) δεκατέσσαρας ἔδει παρεῖναι μάρτυρας. 3. Συμβαίνει πολλάκις τινὰ pupillaríωs ὑπο- 3. καθιστῶντα τῷ παιδὶ εἰς ἔσχατον ἐμπίπτειν δέος, μήπως ὁ pupillários[4]) ὑποκατάστατος γνοὺς ἅμα τελευτῇ τοῦ πατρὸς ἑαυτὸν pupíllu ὑποκαθάστατον ἐπιβουλεύσῃ τῷ ἀνήβῳ· πρόχειρον δὲ διὰ τὸ βραχὺ τῆς ἡλικίας ὁ púpillos εἰς ἐπιβουλήν. εἰ τοίνυν εὑρεθῇ δειλότατος ὁ πατὴρ καὶ βούλεται[5]) τὸν ἐντεῦθεν ἐκκλίναι φόβον, γράφων κληρονόμον τὸν púpillon τὸν μὲν uulgárion ὑποκατάστατον[6]) εὐθέως μετὰ τὴν ἔνστασιν τοῦ pupíllu ἀφόβως γραφέτω· οὗτος γὰρ ἐπίβουλος εἶναι οὐ δυνήσεται τῷ ἀνήβῳ,[a]) οὔτε ζῶντος τοῦ πατρὸς, ἀγνοεῖται γὰρ τὰ ἐν τῇ διαθήκῃ γεγραμμένα, οὔτε μετὰ τελευτὴν τοῦ διαθεμένου· ἤδη γὰρ ἀναφανεὶς ὁ παῖς τῷ πατρὶ κληρονόμος οὐ δίδωσι χώραν τῷ uulgaríῳ[7]) ὑποκαταστάτῳ, οὐδεὶς δὲ ἀκερδῶς ἐπιβουλεύσει

1) αὐτοῖς ad. F. 2) ἐπὶ F^2. 3) καὶ ad. M.: μάρτ. ἔδ. παρ. mox L^6.
4) τοῦ πουπίλλου ad. Vi. R. 5) —ηται em. R. 6) ita M. L^1. L^2, qui post púp. ad. ὃν ex geminatione. Ita et L^6. Vi. R. At F.: 'γρ. κληρ. τὸν πούπ., ὄντος μὲν βουλγαρίου ὑποκαταστάτου, εὐθέως cet.
7) —ως Vi. R.

a) Cf. Gai. 2, 181.

dem certas personas substituere, si eiusmodi liberi dementiae
morbo nondum liberati decesserint. si autem resipuerint, in-
firmari iussit hanc substitutionem. hoc uero ad exemplum
pupillaris substitutionis inuenit, quae postquam pupillus ado-
2. leuerit infirmatur. 2. Cum autem pupillaris substitutio se-
cundum praefatum modum sit ordinata, quodammodo duo
sunt testamenta, alterum patris, in quo filius heres instituitur,
alterum filii, in quo ei quidam substituitur tanquam si ipse filius
sibi heredem instituisset; uel potius, uti uerius est, unum
quidem est testamentum, duo autem hereditates, una patris
in filium collata, altera a filio in substitutum perueniens.
quaecumque enim pupillus a patre accepit uel ipse post mor-
tem patris quaesiuit ad substitutum transeunt. unum autem
esse testamentum inde liquet quod VII tantum testes arces-
suntur; nam, si duo essent testamenta, XIIII adesse oporte-
3. ret. 3. Fit saepius ut qui filio suo pupillariter substituerint,
in summum ueniat timorem, ne qui pupillo substitutus est,
sicubi patris morte sese pupillo nouerit substitutum, impube-
ris uitae insidietur. pupillus autem est propter leue aeta-
tis insidiis admodum obnoxius. si igitur pater ita formido-
losus inueniatur et hoc periculum cupiat uitare, herede scripto
pupillo, uulgarem substitutum illico post pupilli institutionem
absque timore subdat. hic enim insidiari pupillo nequit, ne-
que uiuo patre, ignorantur enim tunc quae in testamento
sunt scripta, neque mortuo testatore, nam cum filius iam
patri heres sit factus, uulgari substituto locum non dat:
nemo enim sine spe lucri pupillo insidias molietur. haec qui-

τῷ pupíllῳ. ταῦτα μὲν περὶ τῆς uulgarías. τὴν δὲ pupillarían ὑποκατάστασιν ἡνίκα τις βούλεται τυπῶσαι λεγέτω οὕτως· ἔστω μου ὁ υἱὸς κληρονόμος, ἐὰν δὲ μὴ γένηται, ἔστω μου ὁ δεῖνα κληρονόμος. καὶ μεθ' ὃ καταλείψῃ ἐπιτρόπους ληγάτα[1]) fideicómmissa ἐλευθερίας, ἐν τῷ κάτω[2]) μέρει τῆς διαθήκης τὰ ῥήματα γραφέτω οὕτως· ἐὰν δὲ ὁ παῖς μου[3]) γενόμενος κληρονόμος ἄνηβος τελευτήσῃ, ἔστω αὐτοῦ ὁ δεῖνα κληρονόμος. καὶ τοῦτο τὸ μέρος ἰδιάζοντι λίνῳ δεσμείτω καὶ ἰδιάζοντι σφραγιζέτω κηρῷ. ἐν μέντοι τοῖς προτέροις τῆς διαθήκης μέρεσι[4]) τὰ ῥήματα γραφέτω ταῦτα· οὐ βούλομαι τὸ κατώτερον μέρος τῆς διαθήκης ἀνοιγῆναι ζῶντός μου τοῦ παιδὸς καὶ ἔτι ἀνήβου ὄντος. οὕτω γὰρ γενομένης τῆς pupillarías, ἕξει τὸ ἀνεπιβούλευτον ὁ παῖς· οὔτε γὰρ περιόντος αὐτοῦ τοῦ πατρὸς ἐπιβουλεύεται διὰ τὸ πᾶσαν κεκλεῖσθαι τὴν διαθήκην, οὔτε μετὰ τελευτὴν τοῦ πατρὸς διὰ τὸ ἀγνοεῖσθαι τὰ ἐν τῇ pupillaríᾳ ὑποκαταστάσει γεγραμμένα. διατιθέμενός τις καὶ γράψας τὸν ἄνηβον παῖδα κληρονόμον εὐθέως ἐπήγαγε τὴν pupillarían, ὑπακατάστασιν. ἔρρωται μὲν οὐδὲν ἧττον ἡ ὑποκατάστασις, πλὴν ὁ οὕτως βουλευσάμενος[5]) κἀκεῖ γράψας τὴν pupillarían ὑποκατάστασιν, ἔνθα ἑαυτῷ ἐνεστήσατο τὸν παῖδα κληρονόμον[6]), ἐπικινδύνως ὅσον πρὸς τὸν παῖδα δοκεῖ διατίθεσθαι.

4. Οὐ μόνον κληρονόμοις γραφεῖσι τοῖς ἀνήβοις παισὶ pupil- 4.
laríως[7]) οἱ γονεῖς ὑποκαθιστᾶν δύνανται, ἀλλὰ γὰρ καὶ exheredátois αὐτοῖς γενομένοις· ὥςτε[8]) οὐν διὰ τὴν ὑπεξουσιότητα καὶ[9]) οὐκ ἐπειδὴ γράφονται κληρονόμοι δέχονται pupillaríus ὑποκαταστάτους· διὸ καὶ exheredátois καλῶς ὑποκαθιστῶμεν τοῖς παισίν. ἀλλ' ἔχει τις εἰπεῖν· καὶ τί λήψεται ὁ τοῦ exheredátu pupíllu ὑποκατάστατος; ἐροῦμεν ὅτι ἐάν τι συμβῇ τῷ pupíllῳ ἀπὸ κληρονομίας ἢ ληγάτων ἢ δωρεῶν συγγενῶν ἢ πατρῴων φίλων προςγενέσθαι, τοῦτο ἅπαν πρὸς τὸν ὑποκατάστατον ἐλεύσεται. τὰ εἰρημένα περὶ τῆς ὑποκαταστάσεως τῶν

---

[1]) legáta L[1]. [2]) κατωτέρῳ Vi. R. [3]) d. Vi. R. [4]) ἐν . . . ῥήμασι L[6]. [5]) βουλόμενος M. [6]) κλ. τ. π. Vi. R. [7]) —ois M. [8]) ὥςπερ cj. R. [cf. Gloss. Theoph. II 1301]. [9]) d. Vi. R.

dem de uulgari substitutione; pupillarem autem substitutionem si quis ordinare uelit, his fere uerbis utatur: filius mihi heres esto; si mihi heres non erit ille esto. deinde relinquat tutores legata fideicommissa libertates. in inferiore uero parte testamenti eiusmodi uerba addat: sin autem filius meus heres factus impubes decesserit, ille ei heres esto. hanc autem partem proprio lino colliget et propria consignet cera. in priore uero parte testamenti haec uerba scribat: nolo inferiorem partem testamenti aperiri, uiuo filio meo et adhuc impubere. ita enim facta pupillari substitutione, tutus ab insidiis erit filius. neque enim, suo patre uiuo, insidiis adficietur cum adhuc clausae sint testamenti tabulae, neque mortuo patre, cum ignorentur quae in pupillari substitutione scripta sunt. Testatus est quidam atque, filio impubere herede instituto, statim pupillarem substitutionem subdidit. ualet nihilominus substitutio; qui autem hoc iniit consilium ibique pupillarem substitutionem scripsit, ubi sibi filium here-
4. dem instituit, cum filii discrimine testatus esse uidetur. 4. Nec tantum heredibus institutis filiis impuberibus pupillariter substituere parentes possunt, set etiam isdem exheredatis et reuera propter ius patriae potestatis, non autem quia heredes instituantur, pupillariter iis substitui potest; itaquo exheredatis quoque liberis recte substituimus. set erit qui dicat: quidnam accipiet qui pupillo exheredato substituitur? et est dicendum si quid ex hereditate legatisue donationibusue cognatorum seu amicorum paternorum pupillo obuenerit, id omne ad substitutum pertinere. quae diximus de impuberum libe-

ἀνήβων παίδων γραφέντων κληρονόμων ἢ exheredátωn γενομένων, ταῦτα καὶ ἐπὶ postúmus ἕλκομεν. δυνάμεθα γὰρ τοῖς postúmois uulgaríως ὑποκαθιστᾶν οὕτως· ἔστω μοι ὁ postûmos κληρονόμος, ἐὰν δὲ μὴ γένηται ἔστω μου ὁ δεῖνα κληρονόμος. οὐ γίνεται δὲ, ἐὰν ἢ[1]) μὴ τεχθῇ ἢ τεχθεὶς προτελευτήσῃ τοῦ πατρός. δυνατὸν καὶ pupillaríως οὕτως· ἔστω μοι[2]) ὁ postûmos κληρονόμος ἐὰν δὲ γενόμενος ἄνηβος τελευτήσῃ, ἔστω αὐτοῦ ὁ δεῖνα κληρονόμος. καὶ ἀκολούθως τοῖς προειρημένοις uulgaropupillarían ἐπ' αὐτῷ ποιοῦμεν ὑποκατάστασιν. 5. Ἔχε ταῦτα ὡς ἐν 5.
προθεωρίᾳ· τὸ μέρος ἐκεῖνο τῆς διαθήκης, ἔνθα ὁ πατὴρ ἑαυτῷ γράφει κληρονόμον,[3]) λέγεται principalía, τὸ δὲ μέρος ἐκεῖνο, ἐν ᾧ τῷ ἀνήβῳ παιδὶ ὑποκαθίστησι, λέγεται pupillaría. ἤρτηται δὲ ἐκ[4]) τῆς principalías ἡ pupillaría καὶ ἐξ ἐκείνης λαμβάνει τὴν ἰσχύν. ἐπειδὴ σοὶ ταῦτα προτεθεώρηται, ὅρα λοιπὸν τὸ προκείμενον. εἰρήκαμεν ὅτι τοῖς ἡμετέροις ἀνήβοις παισὶ δυνάμεθα ὑποκαθιστᾶν, ἀλλὰ τότε νόει, ἡνίκα ἑαυτοῖς γράφομεν κληρονόμους, τουτέστι ποιήσομεν principalían. ταύτης γὰρ μὴ γενομένης, ἄκυρος ἡ pupillaría,[5]) οὐκ ἔχουσα, ὅθεν ἑαυτῇ περιποιήσῃ τὸ ἰσχυρόν· μέρος γὰρ ὥςπερ καὶ παρακολούθημα τῆς principalías ἐστὶν ἡ pupillaría. παρακολούθημα δὲ εὑρεῖν οὐ δυνατὸν, μὴ ὑποκειμένου πρωτοτύπου. ἐπὶ τοσοῦτον δὲ ἐκεῖθεν δέχεται τὴν ἰσχὺν ἡ pupillaría, ὅτι τῆς principalías μὴ ἐρρωμένης οὐδὲ ἡ pupillaría ἰσχύει. ὑπόθου γὰρ οἰκείᾳ χειρὶ μὴ γεγραφέναι αὐτὸν ἐν τῇ principalíᾳ τὸ τοῦ κληρονόμου ὄνομα, ἐν δὲ τῇ pupillaríᾳ τοῦτο ποιῆσαι, οὐδὲν ὄφελος τῇ pupillaríᾳ τῆς principalías ἀσθενούσης. 6. Δυνάμεθα 6.
δὲ[6]) πολλοὺς ἀνήβους ἔχοντες παῖδας ἑνὶ ἑκάστῳ pupillaríως ὑποκαταστῆσαι ἤγουν καὶ τῷ τελευταίῳ ἀνήβῳ τελευτῶντι. ἀλλ' ἐν ᾧ[7]) μὲν μηδένα βούλομαι τῶν ἀνήβων παίδων ἀδιάθε-

---

1) d. Vi. R. 2) μου L6. Vi. F1. R. d. L1. F2. 3) —ους Vi. F1. R.: κληρ. γράφ. L6. et mox πριγκιπ. ἐστί. 4) d. M. 5) —ης, ἡ πουπ. οὐκ ἔχει ὅθεν Vi. R. 6) d. Vi. R. 7) εἰ Vi. R.: ὅτε L6.

rorum substitutione, qui uel heredes scribuntur uel exheredantur, etiam ad postumos sunt trahenda. possumus enim postumis uulgarem substitutum dare hoc modo: postumus mihi heres esto: nisi erit ille mihi heres esto. non fit autem siue non nascatur, siue natus ante patrem decedat. possumus et pupillariter substituere ita: postumus mihi heres esto: sin autem impubes decesserit, ille ei heres esto. quibus consequens est ut uulgaris pupilla-
5. ris substitutio in eo quoque procedat. 5. Haec ante omnia perspecta habeas. pars illa testamenti in qua paterfamilias sibi heredem instituit principalis audit; pars uero illa in qua impuberi filio substituit, pupillaris uocatur. pendet autem ex principali pupillaris, atque ex ea uires sumit. cum haec tibi perspecta sint, uide quid inde sequatur. diximus nos impuberibus liberis nostris posse substituere; id uero ita intellegi oportet, si eos heredes scribamus, hoc est si principalem testamenti partem conficiamus. nam si haec facta non fuerit, inutilis est pupillare testamentum cum non habeat, unde uires sibi sumat. pars enim quodammodo et sequela principalis partis pupillaris est; accessorium autem inueniri nequit, nisi et principale subsistat. adeo autem pupillare testamentum inde uires accipit, ut si principalis pars non ualeat neque pupillaris subsistat. finge enim propria manu non scripsisse quendam in principali parte heredis nomen, id autem in pupillari fecisse, non ideo roboratur pupillaris,
6. cum principalis inrita sit. 6. Possumus quoque cum plures liberos impuberes habeamus, singulis pupillariter substituere, uel ei tantummodo qui postremus decedat. set si uelim nullum filium impuberem intestatum decedere, singulis speciali-

τον τελευτῆσαι, ἑνὶ ἑκάστῳ ἰδιαζόντως ὑποκαθιστῶ, εἰ δὲ τὴν ἐξ ἀδιαθέτου διαδοχὴν μεταξὺ τῶν παίδων ἀποσώζεσθαι βούλομαι, τότε τῷ τελευταίῳ ἀνήβῳ τελευτῶντι ὑποκαθιστῶ [1]). καὶ εἰ μὲν οἱ ἄλλοι τελευτήσωσιν οἱ περιόντες ἀδελφοὶ ἕξουσιν ἐξ ἀδιαθέτου τὸν κλῆρον, εἰ δὲ [2]) εἷς ἐξ αὐτῶν τελευταῖος ἄνηβος ἀποθάνῃ τότε ὁ ὑποκατάστατος παραγίνεται. 7. Δύναμαι [3]) δὲ 7. ὑποκαθιστᾶν τῷ ἀνήβῳ ὀνομαστὶ καὶ λέγειν ὅτι [4]) ἐὰν ὁ υἱός μου γενόμενος κληρονόμος ἄνηβος τελευτήσῃ, ἔστω αὐτοῦ Títios κληρονόμος. δύναμαι δὲ καὶ γενικῶς αὐτῷ ὑποκαταστῆσαι· [5]) οἷον πολλοὺς ἐνεστησάμην κληρονόμους μετὰ τοῦ παιδός μου ἢ πολλοὺς γράψας κληρονόμους exherédaton ἐποίησα τὸν παῖδα· δύναμαι γενικῶς οὕτως ὑποκαταστῆσαι εἰπών· εἴ τις ἐμοὶ τῷ πατρὶ γένηται κληρονόμος ἔστω ὑποκατάστατος ἀνήβου τελευτῶντος τοῦ παιδός μου. δι' ὧν ῥημάτων ἐκ τῆς ὑποκαταστάσεως εἰς τὰ τοῦ ἀνήβου πράγματα παραγενήσονται, οἵτινες καὶ ἐγράφησαν κληρονόμοι καὶ γεγόνασιν. εἰ γὰρ γραφέντες παρῃτήσαντο τὴν principalían, οὐ λήψονται τὰ ἀπὸ τῆς pupillarías ὑποκαταστάσεως. μερίζονται δὲ τὰ τοῦ pupíllu πράγματα pro parte hereditaria, τουτέστι καθόσον διεδέξαντο τὸν πατέρα. 8. Ἀλλὰ [6]) 8. τοῖς μὲν ἄρρεσι παισὶν ἕως τοῦ τεσσαρεςκαιδεκάτου ἐνιαυτοῦ [7]) ἔξεστιν ὑποκαθιστᾶν, ταῖς δὲ θηλείαις μέχρι τοῦ δωδεκάτου. ταύτην δὲ τὴν ἡλικίαν αὐτῶν ὑπερβάντων ἡ ὑποκατάστασις ἀποσβέννυται. 9. [8])Ἐξωτικῷ δὲ ἤγουν καὶ ἐφήβῳ παιδὶ γρα- 9. φεῖσι κληρονόμοις οὐδεὶς ὑποκαθιστᾶν δύναται [9]) πρὸς μίμησιν τῶν ἀνήβων παίδων, λέγων ὅτι· ἔστω μοι ὁ δεῖνα κληρονόμος, εἰ δὲ γενόμενος κληρονόμος τελευτήσῃ (λόγου χάριν) πρὸ τοῦ λ̄ ἐνιαυτοῦ, ἔστω αὐτοῦ ὁ δεῖνα κληρονόμος.[a]) τοῦτο δὲ μόνον [10]) ποιεῖν ἡμῖν ἐπιτέτραπται· γράφοντες γὰρ κληρονόμον τινὰ δυνάμεθα διὰ fideicommíssu ἐνο-

1) ἄλλον τινὰ ξένον ad. Vi. R. 2) ὁ ad. Vi. R. 3) δυνάμεθα L6. 4) d. Vi. R. 5) —θιστᾶν Vi. F1. R. 6) καὶ Vi. R. 7) —τῶν Vi. R. 8) τῷ Vi. R.: mox γοῦν ἢ L6. 9) ὑποκαθιστᾷ Vi. R. 10) μόν. δὲ L1. F2.

a) Proch. 31, 39.

ter substituere debeo; sin autem legitimam successionem in-
ter liberos seruare uelim, tunc ei qui postremum impubes
decedat, substituam: et si alii mortui fuerint, fratres super-
stites ab intestato hereditatem accipient, sin autem unus ex
7. iis nouissime impubes decedat, tunc substitutus ueniet. 7.
Substituere autem impuberi nominatim possum et dicere: si
filius meus heres factus impubes decesserit, Titius
ei heres esto. possum et generatim ei substituere; ut ecce
plures heredes institueram simul cum filio meo, uel, pluribus
heredibus institutis, filium exheredaueram: possum ei gene-
ratim substituere hoc modo; quisquis mihi patri heres
erit is filio meo si impubes decesserit, esto sub-
stitutus. quibus uerbis ex substitutione illi ad impuberis res
uocabuntur, qui heredes sunt instituti et extiterunt. nam si
heredes instituti principale repudiauerint testamentum, neque
ex pupillari substitutione aliquid accipient. diuiduntur autem
bona pupilli pro parte hereditaria, idest pro qua parte patri
8. successerunt. 8. Set filiis quidem masculis ad annum usque
quattuordecimum substituere licet, feminis autem usque ad
duodecimum. hoc enim tempus si excesserint, euanescit sub-
9. stitutio. 9. Extraneo uel puberi filio heredi scripto nemo
substituere potest ad similitudinem filiorum impuberum, hoc
modo: »ille mihi heres esto, sin autem heres factus
(uerbi gratia) ante trigensimum annum decesserit ei
heres ille esto.« set hoc tantum nobis facere permissum

χον αὐτὸν ποιεῖν, ὥςτε ἑτέρῳ τὴν κληρονομίαν ἀποκαταστῆσαι ἢ πᾶσαν ἢ μέρος. τὸ δὲ τοῦ fideicommíssu *ὁποῖον*[1]) *ἔχει ἀποτέλεσμα ἐν τῷ οἰκείῳ παραδοθήσεται τόπῳ.*

Quibus modis testamenta infirmantur.[2]) Titulus 17.

Ἔγνωμεν ὅπως γίνονται νομίμως αἱ διαθῆκαι. ἀλλ' εἰ μὲν παρελείφθη τι τῶν τῆς ἀκριβείας ἐχομένων λέγεται ἡ διαθήκη non iure ciuili facta,[3]) *ἢ συντόμῳ λόγῳ* iniusta[4]). *παρώφθη γὰρ τυχὸν ὁ* legítimos *τῶν μαρτύρων ἀριθμὸς, ἢ παρῆσαν μὲν οἱ ἑπτὰ, οὐ πάντες δὲ ὑπέγραψαν, ἢ ὑπέγραψαν μὲν πάντες, οὐκ ἐσφράγισαν δέ, ἢ ταῦτα μὲν ἐποίησαν ὁ δὲ* testátωr *οἰκείᾳ χειρὶ τὸ τοῦ κληρονόμου ὄνομα*[5]) *οὐκ ἔγραφεν, οὐδὲ μὴν*[6]) *ἐπὶ τῶν μαρτύρων ὠνόμασε τὸν ἐσόμενον αὐτοῦ διάδοχον, ἢ παῖδάς τις ἔχων* súus *οὐδὲ κληρονόμους οὐδὲ* exheredátus[7]) *ἐποίησεν. ἐπὶ τούτων πάντων λέγεται ἡ διαθήκη*[8]) non iure ciuili facta. *εἰ δὲ καὶ μηδὲν τούτων παρώφθη οὐδὲ οὕτω πάντως μέχρι τέλους τὸ ἰσχυρὸν πάρεστι τῇ διαθήκῃ ἢ γὰρ* rúpta *γίνεται ἢ* ínritos. 1. Rúpta *δὲ γίνεται τοῦτον τὸν τρόπον.*[9]) *διέθετό* 1. *τις ἀνεπιλήπτως·*[10]) *μείναντος τοῦ* testátoros *ἐπὶ τῆς αὐτῆς καταστάσεως, τὸ τῆς διαθήκης δίκαιον ἠλαττώθη. εἰ γάρ τις μετὰ τὴν ποίησιν τῆς διαθήκης λάβῃ τινὰ εἰς υἱοθεσίαν ἢ αὐτεξούσιον παρὰ βασιλεῖ ἢ ὑπεξούσιον παρὰ τοῖς ἄρχουσι κατὰ τὰ εἰρημένα τῇ διατάξει τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως τουτέστιν ἡνίκα πάππος ἐστὶν ὁ λαμβάνων (τότε γὰρ καὶ*[11]) *ἡ*

---

1) *ποῖον* L[1]. L[18]. Hinc usq. ad. 2, 20 deest L[3]. 2) *ποίοις τρόποις αἱ διαθῆκαι ἀκυροῦνται* ad. libri. ed. 3) *ἤγουν οὐ δικαίῳ πολιτικῷ γεγενημένη* ad. Vi. R. 4) *ἤτοι παράνομος* ad. Vi. R. 5) *τὴν . . προσηγορίαν* Vi. F[1]. R. cum L[1]. L[6]. et L[18]. 6) *οὐδὲ* ins. L[6]. 7) *τούτους* ad. Vi. R. 8) d. M. 9) *τούτῳ τῷ τρόπῳ* L[6]. Vi. F[1]. R. 10) *μὴ* ad. Vi. ed. ant. F. R., qui eam uoculam perperam retinet. 11) d. Vi. R.

est ut, herede scripto, per fideicommissum eundem obligemus ut alteri hereditatem restituat uel totam uel pro parte. quomodo autem fideicommissum id efficiat suo loco tradetur.

Quibus modis testamenta infirmantur. Titulus 17.

Nouimus quomodo iure fiant testamenta. set si quid omittatur eorum quae ad iuris obseruationem pertinent, dicitur testamentum *non iure ciuili factum* uel breuius *iniustum*. forte enim legitimus testium numerus est omissus, uel septem quidem adfuerunt, non omnes autem supscripserunt, uel supscripserunt omnes quidem, non autem signauerunt, uel haec quidem fecerunt, set testator heredis nomen propria manu non scripsit, neque coram testibus futurum sibi successorem nuncupauit uel liberos suos cum haberet, neque heredes instituit neque exheredes fecit. in hisce ergo omnibus causis dicitur testamentum *non iure ciuili factum*. sin autem nihil eiusmodi omissum est, neque ideo prorsus ad finem usque ualet testamentum, *ruptum* enim *inritumue*
1. fieri potest. 1. Rumpitur autem hoc modo. testatus est quidam sine uitio; cum testator in eodem statu maneret, potuit ius minui testamenti. si enim post testamenti factionem quendam adoptandum susceperit, siue patremfamilias per imperatorem siue filiumfamilias per praetorem secundum ea quae constitutione cauentur piissimi principis nostri, idest cum auus sit qui adoptet (tunc enim adoptio uim suam osten-

θέσις ἐπιδείκνυται τὰ ἑαυτῆς), ἡ γενομένη ῥήγνυται διαθήκη[1] καινοῦ súu ἐπιγινομένου, ὥςπερ εἰ postûmos ἐτέχθη. 2. Καὶ 2.
διαθήκη δευτέρα νομίμως πληρωθεῖσα δύναται τὴν προτέραν ῥηγνύειν[2] διαθήκην, εἴτε γέγονέ τις κληρονόμος ἐξ αὐτῆς, εἴτε μὴ γέγονεν, ἠδύνατο δὲ ὅλως κληρονομῆσαι· τοῦτο γὰρ μόνον σκοποῦμεν εἰ ἔνι τινι θέματι ἠδύνατο κληρονομῆσαι· καὶ πῶς δυνάμενος τις κληρονομῆσαι οὐκ ἐκληρονόμησεν;[3] ὑπόθου γάρ[4] ὅτι erepudiáteusen ὁ γραφεὶς ἐν τῇ δευτέρᾳ διαθήκῃ[5] κληρονόμος ἢ ζῶντος τοῦ testátoros ἐτελεύτησεν ἢ μετὰ[6] τελευτὴν τοῦ διαθεμένου[7] πρὸ τῆς aditíonos, ἢ ὑπὸ αἵρεσιν ἐγράφη καὶ ἡ αἵρεσις ἠτόνησεν. καὶ ἐν τούτοις τοῖς θέμασι συμβαίνει τὸν testátora δύο ποιήσαντα διαθήκας[8] ἀδιάθετον τελευτᾶν, τῆς μὲν προτέρας ῥηγνυμένης τῇ ποιήσει τῆς δευτέρας, τῆς δὲ μεταγενεστέρας ἀκυρουμένης διὰ τὸ μηδένα ἐντεῦθεν γενέσθαι κληρονόμον. 3. Εἰ δὲ καὶ[9] διαθέμενός τις ἐνε- 3.
στήσατο Prîmon κληρονόμον, εἶτα μετὰ χρόνον τινὰ ἦλθεν ἐπὶ ποίησιν δευτέρας διαθήκης, ἣν καὶ αὐτὴν νομίμως ἐπεραίωσε Secûndon ἐνστησάμενος κληρονόμον οὕτως· ἔστω μου[10] Secûndos κληρονόμος εἰς τόδε καὶ τόδε[11] πρᾶγμα, οὐδὲν ἧττον καὶ οὕτως ἡ πρώτη[12] ῥήγνυται διαθήκη· οὐδὲ γὰρ τὸ ex certa parte[13] γραφῆναι Secûndon κληρονόμον[14] ἐν τῇ δευτέρᾳ διαθήκῃ ἀνίσχυρον ποιεῖ τὴν ἔνστασιν καὶ τοῦτο[15] Σεβῆρος καὶ Ἀντονῖνος ἀντέγραψαν οἱ θειότατοι. τῆς δὲ τοιαύτης διατάξεώς ἐστι τὰ ῥήματα ταῦτα (οὐκ ἄτοπον γὰρ αὐτῶν μνημονεῦσαι διὰ τὸ καὶ ἕτερόν τι χρήσιμον ἐξ αὐτῶν δυνάμενον[16] σημαίνεσθαι)· διαθέμενός τις καὶ γράψας πολλοὺς κληρονόμους, ἐν δευτέρᾳ διαθήκῃ ἕτερον εἰς φανερὰ κληρονόμον[17] ἐνεστήσατο προσθεὶς[18] οὐδὲν ἧττον βούλεσθαι[19] τὴν προτέραν ἐρρῶσθαι διαθήκην. ἦλθεν ἐπὶ Σεβῆρον καὶ Ἀντονῖνον τὸ πρᾶγμα καὶ ἀν-

---

1) d. M. 2) —ῦναι L^{18}. 3) ἠδύν. κληρ.. οὐκ ἐκληρον. δὲ. L^{18}. 4) d. L^{6}. Vi. R. 5) ἐν τῇ διαθ. τῇ δευτ. L^{1}. L^{18}. 6) τὴν ad. Vi. R. 7) διατιθ. F. 8) ποιήσ. δύο διαθ. L^{18}. 9) haec d. Vi. R.: εἰ καὶ L^{6}. 10) d. Vi. R. 11) —τὸ ad. L^{1}. L^{18}. 12) —τέρα L^{1}. F^{2}. 13) ἤγουν εἰς δῆλα πράγματα ad. Vi. R. 14) M.: cet. γραφῆναι τὸν S. ἐν cet. 15) οὕτω L^{1}. F. 16) δύνασθαι Pi. F^{2}. 17) —ὰν κληρονομίαν L^{6}. 18) εἰπὼν ὅτι L^{6}. 19) —ομαι L^{6}.

dit), rumpitur factum testamentum noui sui heredis adgna-
2. tione, perinde ac si postumus natus sit. 2. Set et posterius
testamentum iure perfectum superius rumpere potest; siue
quis ex eo heres extiterit, siue non extiterit, qui tamen omnino
existere potuerit (id enim tantummodo spectamus an aliquo
casu potuerit existere). quomodo autem cum quis heres esse
posset, non extitit? finge eum qui posteriore testamento in-
stitutus est, hereditatem repudiasse uel uiuo testatore mor-
tuum esse, uel post mortem quidem testatoris, ante autem
aditionem; uel eo sub condicione scripto, condicionem defe-
cisse. atque in eiusmodi casibus fit ut testator, cum duo
condiderit testamenta, intestatus decedat, cum prius altero
facto rumpatur, posterius uero, cum ex eo nemo heres extite-
3. rit, nullas habeat uires. 3. Set si quis in testamento Pri-
mum heredem instituit, deinde post aliquod tempus alterum
aggressus est testamentum, quod et iure perfecit, Secundo
ita herede instituto: S e c u n d u s h e r e s e s t o e x i l l a e t
i l l a r e, nihilominus et ita prius rumpitur testamentum. ne-
que enim quia ex certa re scriptus est Secundus heres in
posteriore testamento, ideo inutilis institutio est, idque diui
Seuerus et Antoninus rescripserunt. eius autem constitutio-
nis uerba sunt haec (non enim absurdum est eorum mentio-
nem habere, cum et alterum quid utilitatis inde percipi pos-
sit). testatus fuerat quidam pluresque scripserat heredes: in
posteriore testamento alium quendam ex certis rebus in-
stituerat, addens sese prius testamentum nihilominus ualere
uelle. Cum mortuus esset, relata res est ad Seuerum et An-

τέγραφαν Κοκκείῳ[1]) *Καμπανῷ· »ἡ μὲν κατὰ*[2]) *δευτέραν τάξιν*
γενομένη διαθήκη, εἰ καὶ ἐπὶ φανεροῖς πράγμασι γέγραπταί τις
ἐν αὐτῇ κληρονόμος, ἀλλ' οὖν ἀνατρέπει τὴν προτέραν ὁμοίως,
ὥςπερ εἰ δίχα μνήμης πραγμάτων ἡ ἐν τῇ δευτέρᾳ διαθήκῃ
ἔνστασις ἐγεγόνει.« ἐκέλευσε[3]) *κληρονομεῖν μὲν τὸν ἐν τῇ δευ-*
τέρᾳ διαθήκῃ γεγραμμένον,[a]) *κατέχεσθαι δὲ τοῖς ἐνσταθεῖσι*
κληρονόμοις ἐν τῇ προτέρᾳ διαθήκῃ ἐπὶ ἀποκαταστάσει τῆς
κληρονομίας ἀρχούμενον αὐτὸν τοῖς πράγμασι εἰς ἃ καὶ γέγραπ-
ται κληρονόμος,[4]) *εἰ καὶ μὴ ταῦτα τὰ ἑαθέντα αὐτῷ*[5]) *ποιεῖ*
τὸν falcídion· *ὥςτε*[6]) *ἀναπληροῦσθαι αὐτῷ τὸ ἐλλεῖπον τῷ τε-*
τάρτῳ.[7]) *τούτων*[8]) *δὲ αἰτία τὰ ἐν τῇ δευτέρᾳ διαθήκῃ γε-*
γραμμένα ῥήματα, ἐν οἷς εἶπε τὴν προτέραν ἐρρῶσθαι διαθή-
κην. τὸ μὲν οὖν τοῦ rúptu *πάθος διὰ πολλῶν συμβαίνει τρό-*
πων. postúmu *γὰρ* praeterítu *τοκετὸς καὶ καινὸς* sûos *ἐπα-*
ναβαίνων καὶ καινὸς sûos[9]) *ἐπιγενόμενος καὶ ποίησις δευτέρας*
διαθήκης rúptan *ποιοῦσι*[10]) *τὴν διαθήκην. ἀλλὰ ταῦτα μὲν*
περὶ[11]) *πάθους τοῦ* rúptu. 4. *Τὸ δὲ* ínriton[12]) *καταλύει καὶ* 4.
αὐτὸ τὴν γενομένην διαθήκην, οἷον ἡνίκα ὁ διαθέμενος ὑποστῇ
capitis deminutíona. *ποίοις δὲ τρόποις συμβαίνει ἐν τῇ προ-*
τέρᾳ διεξήλθομεν Institutíoni. *ἐὰν γὰρ ὁ* testátωr *ὑποστῇ*[13])
τὴν μεγάλην καὶ γένηται δοῦλος ἢ τὴν μέσην καὶ τῆς πολιτείας
ἐκπέσῃ ἢ τὴν ἐλαχίστην[14]) *καὶ γένηται ὑπεξούσιος δοὺς ἑαυτὸν*
εἰς adrogatíona, ínritos *γίνεται ἡ διαθήκη.*[b]) 5. *Ὥςτε οὖν,* 5.
ὡς καὶ ἤδη εἴρηται, τρία πάθη παρενοχλεῖ ταῖς διαθήκαις[15]),
non iure ciuili factum, ruptum, irritum. *δυνάμεθα δὲ καὶ τὸ*
ínriton rúpton *καλέσαι καὶ τὸ* rúpton ínriton *καὶ τὴν ἐξ ἀρχῆς*
μὴ νομίμως γενομένην διαθήκην ínriton *δυνάμεθα καλεῖν καὶ*

---

1) *Κοκκίῳ* L 18. 2) *τὴν* ad. L 6. Vi. R. 3) *δὲ* ad. libri et ed.: om. M. 4) ita interpungendum, ut uel ex Epi. liquet. 5) d. M.: *αὐτῷ ἑαθ.* L 6. 6) Ita M. L 1. L 18. Pi. Epi. F. *ὅμως δεῖ* L 6. Vi. R. qui cj. *καὶ εἰ μὴ . . . ὅλως δεῖ*, perperam. 7) *τὸ λοιπὸν τοῦ φαλκιδίου αὐτοῦ* Epi. 8) *—τον* Vi. R. 9) *ἐπαναβαίνων καὶ καινὸς σοῦος* ins. Vi. R. 10) *ποιεῖ* Vi. R. 11) *τοῦ* expunxi ex M. L 1. L 6. 12) írriton h. l. M. L 1.: *ἴνριτον* L 18.: perperam, em. R. *ἰρρίτου* [i. e. *πάθος*]. 13) *—σταίη* F. cum M. L 1. 14) *τε-λευταίαν* L 6. 15) *ἐν ταῖς διαθ. τρία π. παρεν.* Epi.

a) Cf. Epi. 30, 3. b) Epi. 30, 3.

toninum, rescripseruntque Cocceio Campano: »testamentum secundo loco factum, licet in eo ex certis rebus quis heres scriptus sit, nihilominus prius rumpit perinde ac si citra rerum mentionem in secundo testamento facta sit institutio.« iussit autem heredem quidem fieri qui in posteriore testamento institutus esset, set teneri heredibus in priore testamento institutis hereditatem restituere, iis rebus contentum, ex quibus etiam heres scriptus esset. sin autem quae ei essent relicta quartam legis falcidiae non explerent, quod quartae deesset ei supplendum esse. quorum rationem continent uerba in secundo scripta testamento, in quibus expressum est prius ualere testamentum. rumpi igitur testamentum pluribus potest modis. nam postumi praeteriti natiuitate et successione in locum sui et noui sui adgnatione et adoptione rumpitur testamentum. set haec quidem de rupto testamento sufficiant.

4. 4. Testamentum iure conditum potest quoque inritum fieri, ueluti cum testator capitis deminutionem passus sit. quod quibus modis accidit in prima Institutione rettulimus. si enim testator magnam capitis deminutionem passus sit, seruusque factus sit, uel mediam atque ciuitatem amiserit, uel minimam atque alieni iuris factus sit, cum sese adro-
5. gandum dederit, inritum fit testamentum. 5. Itaque, sicuti iam dictum est, tribus modis infirmantur testamenta; aut enim non iure ciuili fiunt, aut rumpuntur, aut inrita efficiuntur. possumus autem et quod inritum est ruptum uocare et quod ruptum inritum et testamentum ab initio non iure con-

ἀδιαφόρως χρῆσθαι τοῖς ὀνόμασιν. διὰ τοῦτο δὲ ἰδιαζόντως
ἑκάστῳ πάθει κυριότητα προσηγορίας ἐπενοήσαμεν, ἵνα ἐκ τῶν
κυρίων ὀνομάτων γνόντες τὸ ὑποκείμενον πάθος δυνηθῶμεν τοῦτο
διαφυγεῖν. 6. Ἀλλὰ τὰ μὲν εἰρημένα γ πάθη τὴν πολιτικὴν 6.
ἀνατρέπει διαθήκην, τῆς δὲ praetorías οὐχ ἅπτεται· τὸ μὲν
γὰρ τοῦ non iure ciuili fáctu πάθος καὶ μωρόν ἐστι λέγειν ἐπὶ
τῆς praetorías. τὸ δὲ τοῦ rúptu[1]) οὐ καταλύει αὐτήν, οὐδὲ
μὴν τὸ τοῦ inrítu, ἐὰν συμβῇ τὸν testátora διαφυγεῖν ἣν ὑπέ-
στην capitis deminutíona. ὁ γὰρ praétωr τοὺς δύο καιροὺς
ἐπιζητεῖ, τὸν τῆς ποιήσεως τῆς διαθήκης καὶ τὸν τῆς τελευτῆς
καὶ ἐὰν εὑρῇ[2]) ἐν ἑκατέρῳ καιρῷ ἔχοντα αὐτὸν testamenti-
factíona,[3]) ἰσχυρὸν οἶδεν εἶναι τὴν αὐτοῦ διαθήκην[4]) τὸν μέσον
καιρὸν οὐ περιεργαζόμενος, εἴτε τὴν πολιτείαν εἴτε τὴν ἐλευθε-
ρίαν ἀπώλεσεν. ὅλως γὰρ ἐν ᾧ ἑπτὰ μαρτύρων ἐπίκειντα
σφραγῖδες καὶ ἐν ἑκατέρῳ καιρῷ testamentifactíona εἶχεν ὁ
τελευτήσας (ἦν γὰρ ῥωμαῖος καὶ αὐτεξούσιος) δίδωσι τῷ scríptῳ
κληρονόμῳ τὴν[5]) secundum tabulas διακατοχήν. εἰ μέντοι ἐτε-
λεύτησεν ἐν τῇ capitis deminutíoni, δοὺς γὰρ ἑαυτὸν εἰς adro-
gatíona ἐτελεύτησεν πρὶν αὐτεξούσιος γένηται, τότε καὶ αὐτὸς
ὁ praétωr οἶδεν ínriton οὖσαν τὴν διαθήκην καὶ οὐκ ἐπαγγέλ-
λεται scríptῳ κληρονόμῳ τὴν[6]) secundum tabulas διακατοχήν.
7. Διαθέμενός[7]) τις καὶ ἐπιζήσας τῇ ποιήσει τῆς διαθήκης 7.
εἶπεν· »βούλομαι ταύτην μὴ ἰσχύειν.«[8]) ἐκ τούτων μό-
νων τῶν ῥημάτων ἀνίσχυρος οὐκ ἀποτελεῖται ἡ διαθήκη· τὰ γὰρ
ἐννόμως γενόμενα ἐννόμως ἀνατρέπεσθαι δεῖ. τὸ πλέον φημί·
εἰ καὶ μετὰ τὸ διαθέσθαι τις ἦλθεν ἐπὶ ποίησιν δευτέρας δια-
θήκης, ἐν δὲ τῷ μεταξὺ τελευτήσας ἢ καὶ μεταγνοὺς ταύτην
οὐκ ἐπεραίωσε, τοῦ θειοτάτου Pertínacos[9]) γέγονε διάταξις
βεβαίαν εἶναι τὴν προτέραν διαθήκην κελεύουσα. φησὶ γὰρ μὴ
ἑτέρως νομίμως γενομένην[10]) προτέραν διαθήκην ἐκ τῆς δευτέρας
ἀκυροῦσθαι, εἰ μὴ ἐννόμως ἡ[11]) δευτέρα περαιωθῇ. ἡ γὰρ

---

1) οὐδὲ τὸ τοῦ ῥ. Vi. R. 2) εἰ ἐν ἑκ. κ. ἔχονται M. 3) τεσταμέντου φ. Vi. R. 4) διαθ. αὐτοῦ Vi. R. 5) d. Vi. 6) ἐσομένην ins. M. 7) διατιθ. M. 8) M.: cet. 'οὐ βούλ. τ. ἰσχ.' 9) Ita M. L^1. 10) γεγονυῖαν νομ. L^6. 11) d. Vi.

ditum inritum possumus appellare, atque indiscriminatim his nominibus uti. ideo uero singulas propriasque appellationes inuenimus, ut ex propriis nominibus uitium subiectum intel-
6. legentes id uitare possimus. 6. Set tria haec uitia, quae diximus, ciuilem infirmant testamentum, praetorium autem non tangunt: sat enim ridiculum esset dicere de praetorio testamento non esse id iure ciuili conditum. Set nec rumpi potest neque inritum fieri, si testator quam passus est capitis deminutionem rursus effugiat. praetor enim duo haec tempora inquirit, testamenti scilicet conditi et mortis. atque si inueniat utroque tempore eum testamentifactionem habuisse, eius ratum habet testamentum, nihil curiosius de medio tempore laborans siue ciuitatem siue libertatem amiserit. omnino enim si septem testium signa imposita sunt, atque utroque tempore testamenti habuit factionem qui mortuus est (erat nempe ciuis romanus et paterfamilias), scripto heredi bonorum possessionem secundum tabulas pollicetur. quod si in capitis deminutione mortuus sit, ueluti si cum sese adrogandum dedisset antequam sui iuris efficeretur decesserit, tunc ipse quoque praetor eius testamentum inritum esse agnoscit, neque scripto heredi bonorum possessionem secundum tabu-
7. las pollicetur. 7. Cum quidam esset testatus atque testamento condito superuixisset, ait se nolle id amplius ualere. hisce tantummodo uerbis non infirmatur testamentum, quae enim iure fiunt, iure etiam subuerti debent. immo si postquam testatus quidam sit posterius aggrediatur testamentum, et morte praeuentus aut poenitentia ductus non perficiat, ex diui Pertinacis constitutione prius testamentum ualet. ait enim non aliter prius testamentum rite perfectum, posteriore facto, infirmari, quam si iure secundum conficiatur. imperfectum

ἀτελὴς διαθήκη ἀσθενὴς ἀμάχως ἐστίν. 8. *Τῇ αὐτῇ διατάξει κἀκεῖνο περιέχεται, ὡς οὐ δεῖ τὴν τοιαύτην ἔνστασιν ἐρρῶσθαι, ἔνθα τις διὰ τὸ δίκην ἔχειν πρός τινα τὸν βασιλέα κληρονόμον ἐνεστήσατο, οὐδὲ βεβαίας ἀποκαλεῖ τὰς τοιαύτας διαθήκας, οὐδὲ ἄγραφον εἰς βασιλέα γενομένην ἔνστασιν δέχεται, οὐδέ φησιν ἑαυτὸν*[1]) *ἀνέχεσθαί τι λαβεῖν ἀπὸ γραφῆς*[2]), *εἰ μὴ πρόσεστιν ἀνελλιπὴς αὐθεντία τοῦ νόμου.*[3]) *τοιαύτῃ διατάξει Σεβῆρος*[4]) *καὶ Ἀντονῖνος οἱ θειότατοι πολλάκις ἀκολουθήσαντες ἀντέγραψαν, ὅτι εἰ καὶ τοῖς νόμοις οὐχ ὑποκείμεθα, ἀλλ' οὖν κατὰ νόμους πολιτευόμεθα·* licet enim legibus soluti sumus[5]) attamen legibus uiuimus.[6]) *δεῖ γὰρ θαυμάζοντας τὴν οὕτως θείαν φωνὴν ἐπὶ στόματος ἔχειν.*[7]) 8.

De inofficioso testamento.[8]) Titulus 18.

Εἰρήκαμεν ἐν τοῖς προλαβοῦσι δύνασθαι τοὺς ἀνιόντας διατιθεμένους μὴ γράφειν τοὺς κατιόντας κληρονόμους, ἀλλ' exheredátus *ποιεῖν ἢ* praeteritíoni *ὑβρίζειν, ἐφ' ὧν ἡ* praeteritíων *ἀντὶ* exheredatíonos *παραλαμβάνεται. ἀλλ' ἐπειδὴ ταύτης δραττόμενοι τῆς ἀδείας οἱ γονεῖς τοὺς οἰκείους ἔβλαπτον παῖδας καταλιμπάνοντες αὐτοὺς ἐν πενίᾳ· εἰ μὲν γὰρ ἦν τις τῶν κατὰ ἀρρενογονίαν ἀνιόντων ἐποίησε δὲ* exherédaton *τὸν παῖδα, οὔτε* ipso iure *ἀνυπόστατος ἦν ἡ διαθήκη, οὔτε ἐξ ἀδιαθέτου ὁ παῖς ἠδύνατο παραγίνεσθαι, πῶς γὰρ διαθήκης ὑποκειμένης; οὔτε ἀπὸ τοῦ* praétoros *τὴν* contra tabulas *εἶχεν*, praeterítois

---

[1]) *οὐδ' ἐφ' ἑαυτοῦ* M. An *οὐδ' ἔφη ἑαυτὸν? οὐδὲ λέγει αὐτὸν* Vi. R. [2]) *ὡς ἐπὶ τελευταιᾳ βουλήσει* ad. Vi. R. [3]) *τῇ* ad. L[1]. L[18]. Vi. R. [4]) Seuῆros M. [5]) simus R [6]) secundum leges uiuere uolumus ad. ant. F.: R.: cum Thi libris faciunt et latinae Institutiones. [7]) *ἤγουν εἰ γὰρ καὶ τῶν νόμων ἀπολελυμένοι ἐσμὲν, ἀλλ' ὅμως κατὰ νόμους ζῶμεν* L[6]. *περὶ ἀτάκτου διαθήκης* ad. libri ed.

8. enim testamentum sine dubio nullum est. 8. Eadem constitutione illud quoque cauetur, ne eiusmodi institutio ualeat, qua heredem quis Caesarem instituat, cum litem aduersus quendam habeat. neque enim ualida huiusmodi testamenta esse ait, neque institutionem principis nuda uoce factam sese admissurum neque ex ulla scriptura aliquid accepturum expressit, nisi iuris auctoritas plenissima accedat. secundum hanc constitutionem diui Seuerus et Antoninus saepius rescripserunt: licet enim legibus soluti sumus, attamen legibus uiuimus. quam uocem adeo diuinam nos magnifacere oportet ac saepius praedicare.

De inofficioso testamento. Titulus 18.

Diximus superius posse parentes in testamentis condendis liberos heredes non scribere, set exheredes facere uel praeterire, in quorum nempe personis praeteritio pro exheredatione accipitur. set ea facultate abusi parentes liberos suos plerumque laedebant eos in egestate relinquentes; nam si quis ex parentibus exheredes liberos fecisset, neque ipso iure inualidum erat testamentum, neque ab intestato liberi adire poterant (quomodo enim extante testamento?), neque a praetore bonorum possessionem contra tabulae optinebant; praeteritis enim non exheredatis liberis ea concedi-

γὰρ οὐ μὴν exheredátois αὕτη[1]) παρέχεται.[2]) εἰ δὲ μήτηρ
ἦν ἡ διατιθεμένη [ἢ] οἱ κατὰ μητέρα ἀνιόντες[3]) οὐδὲ ἐνθυμη-
θῆναι περὶ τῆς contra tabulas ἦν· κατὰ γὰρ διαθήκης θήλεως
πρόσωπον παισὶν οὐ δίδοται ἡ contra tabulas. ἐν ἐσχάτῃ τοί-
νυν βοηθείᾳ ἐπενοήθη τοῖς παισὶν ἡ[4]) de inofficioso μεμφο-
μένοις καὶ λέγουσιν ἀδίκως ἑαυτοὺς[5]) exheredátus γενέσθαι
ἤγουν praeteriteuθῆναι, τοῦτο προϊσχομένοις τὸ χρῶμα ὡς ὅτι
μεμηνὼς ἦν ὁ τελευτήσας, ἡνίκα τὴν διαθήκην ἐτύπου. τοῦτο
δὲ λέγεται παρὰ τῶν παίδων οὐχ ὡς τῇ ἀληθείᾳ μανέντος τοῦ
τελευτήσαντος, ἀλλ' ὅτι γεγένηται μὲν ἰσχυρῶς ἡ διαθήκη, οὐχ
ὡς ἀπαιτεῖ δὲ τῆς εὐσεβείας ὁ λόγος. εἰ γὰρ ἐμαίνετο τῇ ἀλη-
θείᾳ, οὐκ ἠδύνατο διατίθεσθαι· ἢ μᾶλλον ἐμεμήνει διὰ τοῦτο,
ἐπειδὴ τὴν φύσιν ἀλόγως ἐμίσησεν. 1. Οὐ μόνον δὲ τοῖς παι- 1.
σὶν ἐπιτέτραπται τῆς τῶν γονέων διαθήκης ὡς μὴ προσηκόντως
γενομένης κατηγορεῖν, ἀλλὰ γὰρ[6]) καὶ γονεῦσίν ἐστι παρρησία
τὴν τῶν παίδων διαβάλλειν διαθήκην. ἀδελφὴ δὲ καὶ ἀδελφὸς
ἀνατρέψουσι[7]) τηνικαῦτα τὴν τοῦ τελευτήσαντος διαθήκην τῶν
scríptων προτιμώμενοι, ἡνίκα αἰσχρὸν ἐπέχουσιν οἱ γεγραμμένοι
πρόσωπον, οἷον ἡνίοχοι[a]) μῖμοι κυνηγοὶ καὶ οἱ ἀπὸ αἰσχρᾶς μί-
ξεως ἐγνωσμένοι· τοῦτο γὰρ ταῖς θείαις περιέχεται διατάξεσιν.
ὥςτε οὖν ἀνιόντες καὶ κατιόντες, ἐν ᾧ μὴ γεγόνασιν ἀχάριστοι
περὶ τὸν τελευτήσαντα, κατὰ[8]) παντὸς scríptu κινήσουσι τὴν
»de inofficioso«, ἀδελφὸς δὲ καὶ ἀδελφὴ κατὰ μόνων αἰσχρῶν
προσώπων, οἱ δὲ περαιτέρω τοῦ ἀδελφοῦ ἢ τῆς ἀδελφῆς συγ-
γενεῖς οὐδὲ[9]) πάροδον ἔχουσιν ἐπὶ τὴν[10]) de inofficioso, ἀλλὰ
καὶ κινήσοντες ἡττηθήσονται. 2. Παῖδες δὲ κινοῦσι[11]) τὴν de 2.
inofficioso τοῦτο μὲν φυσικοὶ τοῦτο δὲ[12]) θετοὶ κατὰ τὰ εἰρη-

---

1) —τῆς M. 2) —είχετο Vi. R. 3) ita M. om. 'ἢ' quod suppleui. 'οἱ κ. μ. κατίοντες' L1. F. τοῖς κ. μ. κατιοῦσιν L6. Vi. R. 4) addidi ex M. L1. L18. 5) αὐτ. Vi. R. 6) d. Vi. R. 7) —πουσι Vi. R. 8) καὶ M. 9) οὐδεμίαν Vi. R. 10) τῇ Vi. 11) κινήσουσι L1. L18. L6. 12) καὶ ad. Vi. R.

a) Cf. Lex syro-romana § 9 (ad. f. cod. lond.) ubi int. turp. (ܡܠܥܒ̈ܐ) personas recensentur inter alios ܘܡܝܡ̈ܣܐ .. ܘܩܘ̈ܢܓܐ ܘܡܠܟ̈ܐ ܘܐܢܫܝܢ ܕܡܬܗܦܟܝܢ ܒܬܐܛܪܘܢ.

tur. sin autem mater esset testata uel materni generis parentes, ne cogitare quidem de bonorum contra tabulas possessione licebat, contra enim tabulas feminini sexus personae testamenti bonorum possessio non datur. in extremum igitur subsidium liberis querentibus dicentibusque sese immerito exheredes factos uel praeteritos esse querella de inofficioso concessa est, huius coloris praetextu non fuisse defunctum sanae mentis, cum testamentum ordinaret. id autem a liberis dicitur, non quasi uere furiosus fuerit defunctus; set quia iure factum est testamentum, non ita tamen prout pietatis exigebat officium. nam si reuera fuisset furiosus, ne testari quidem potuisset. seu potius ideo furere uisus est,
1. quia naturam sine ratione oderit. 1. Neque liberis tantum permittitur parentum testamentum inofficiosum accusare, uerum etiam parentibus licet liberorum impugnare testamenta. soror autem et frater tunc demum defuncti testamentum subuertent tanquam scriptis heredibus praelati, cum isti turpem gerant personam, ueluti agitatores mimi arenarii quique adulterii crimine damnati sunt.[1]) id enim diualibus constitutionibus cauetur. itaque parentes et liberi, nisi erga defunctum ingratos sese ostenderint, contra omnem scriptum heredem querellam agent de inofficioso; frater uero sororque contra turpes tantum personas. ultra autem fratrem sororemue cognatis nullus aditus ad eiusmodi querellam
2. patet set agentes submouebuntur. 2. Liberi autem tam naturales quam adoptiui agent de inofficioso secundum quae principis nostri constitutione cauentur. tunc uero demum de

[1]) Ita sane lex Syro-Romana uult: aliter intell. F.

μένα τῇ τοῦ ἡμετέρου βασιλέως διατάξει. τότε δὲ οἱ[1] *κινοῦντες τὴν δε* inofficioso *ἰσχυρῶς ταύτῃ χρήσονται, ἡνίκα πάσης ἑτέρας*[2] *ἐστέρηνται βοηθείας· ἐσχάτη γάρ ἐστιν ἡ ἀπὸ τῆς* de inofficioso *βοήθεια· ὁ γὰρ εὐπορῶν ἑτέρου δικαίου δι' οὗ*[3] *δυνήσηται τὴν πᾶσαν τοῦ τελευτήσαντος λαβεῖν περιουσίαν ἢ μέρος αὐτῆς οὐκ ἔχει πάροδον ἐπὶ τὴν* de inofficioso. *τοῦτο δὲ οὐ μόνον περὶ τῶν ἐν φύσει παίδων, ἀλλὰ γὰρ καὶ ἐπὶ* postúmωn *νοεῖσθαι χρή.* 3. *Ταῦτα δὲ οὕτω δεχόμεθα, εἰ* 3. *μηδὲν αὐτοῖς παντελῶς ὑπὸ τοῦ τελευτήσαντος κατελείφθη, τοῦτο γὰρ καὶ ἐκ διατάξεως τοῦ θειοτάτου ἡμετέρου*[4] *βασιλέως ἐπινενόηται τῇ φύσει τὴν προσήκουσαν ἀποσώζοντος αἰδῶ. πάλαι γάρ, εἰ μὴ τὸ ὀφειλόμενον ἅπαν κατελείφθη, ἐδίδοτο χώρα τῇ* de inofficioso. *οἷον· υ̅ νομισμάτων εἶχέ τις οὐσίαν*[5]*· ἔδει αὐτὸν πάντως ρ̅ νν.*[6] *καταλιπεῖν, τουτέστι τὸ τέταρτον τῆς οὐσίας, ἵνα μὴ κινηθῇ ἡ*[7] de inofficioso. *σήμερον δὲ εἰ καὶ ἓν νόμισμα τῷ* exheredátῳ *ἢ καὶ ὁσονδήποτε μέρος τῆς κληρονομίας καταλειφθῇ, ἤγουν καὶ πρᾶγμα οἱονδήποτε, ἡ ἐκ τῆς* de inofficioso *μέμψις ἀργεῖ*[8]*, τῆς διατάξεως τὸ ἐλλεῖπον τῷ τετάρτῳ τῆς ἐξ ἀδιαθέτου μοίρας ἀναπληρούσης, εἰ καὶ τὰ μάλιστα ὁ διαθέμενος οὐκ ἐνέγραψε τῇ οἰκείᾳ χειρί, ὅτι ἐάν τι εὑρεθῇ ἐλλεῖπον βούλομαι αὐτὸ ἀναπληρωθῆναι ἀνδρὸς ἀγαθοῦ μεσιτείᾳ. τοῦτο γὰρ καὶ μὴ προσκείμενον ἡ αὐτὴ διάταξις ὡς φύσει παρεπόμενον δέχεται.*[9] 4. *Ἐάν τις* 4. *ἀσπάσηται τὴν τοῦ πατρὸς βούλησιν, οὐ δύναται αὐτὴν*[10] *ἀνατρέπειν διὰ τῆς* de inofficioso. *ὅθεν ὅρα οἷον ἐζητήθη. ὁ ἐμὸς ὑπεξούσιος ἐπετρόπευε* pupíllu *τινός. τελευτῶν ἐγὼ καὶ γράψας ἕτερον κληρονόμον, τὸν ἐμὸν*[11] *ὑπεξούσιον* exheredáteusa, *κατέλειψα*[12] *δὲ ληγάτον τῷ* pupíllῳ, *οὗπερ ἦν ἐπίτροπος. ἀπῄτησε τὸ ληγάτον ὁ ἐμὸς παῖς τὸ καταλειφθὲν τῷ* pupíllῳ*· μετὰ ταῦτα βούλεται κινῆσαι τὴν* de inofficioso, *ὡς μηδὲν ἔχων ἐκ τῆς πατρῴας*[13] *περιουσίας. ἆρα δύναται ἢ*[14] *μή*

[1]) d. Vi. R. [2]) d. Vi. R. [3]) d. M. [4]) M.: cet. *ἡμῶν.* [5]) *περιουσίαν* Vi. R. [6]) d. L¹. L¹⁸. L⁶. Vi. R. [7]) Addidi cum Vi. R.: *κινῇ* l. L⁶. [8]) *γὰρ εἰ* M. [9]) M. L⁶.: *δέχ. ὡς φ. π.* L¹. F.: *φυσικῶς παραδέχεται ἤγουν ὡς φ. π.* Vi. R. [10]) M.: cet. *ταύτην.* [11]) d. M. [12]) *—έλειπον* Vi. R. [13]) *προτέρας* L⁶. [14]) *εἰ* M.

inofficioso agentes utiliter hac querella utentur, cum ceteris
auxiliis omnino careant, extremum enim subsidium de inoffi-
cioso querella est. qui enim alio iure ad omnia defuncti bona
eorumue partem uenire potest, aditum ad querellam non ha-
bet. id autem non tantum de liberis, qui in rerum natura
3. sunt, set de postumis quoque intellegi oportet. 3. Quae uero
ita accipimus, si nihil penitus eis a defuncto relictum sit: id
enim sanctissimi principis nostri constitutione cauetur, qui
naturae debitam seruauit uerecundiam. olim enim nisi to-
tum quod deberetur esset relictum, querellae de inofficioso
locus fiebat. ut ecce CCCC aureorum patrimonium quidam cum
haberet, oportebat eum C omnino relinquere, idest quartam bo-
norum partem, ne de inofficioso ageretur. hodie uero si uel
nummus unus filio exheredato uel quantulacumque pars bo-
norum relinquatur uel quaelibet res, de inofficioso querella
cessat atque ex constitutione quod quartae deest suppletur,
licet testator propria manu non scripserit: si quid quar-
tae deesse inueniatur id uolo boni uiri arbitratu
suppleri. id enim quamuis non sit adiectum ipsa consti-
4. tutio perinde accipit ac si suapte natura consequatur. 4. Si
quis paternam amplexus sit uoluntatem, nequit postea ean-
dem per querellam inofficiosi subuertere. unde id quaesitum
est. cum filius meus, qui in potestate erat, pupilli cuiusdam tute-
lam gereret, moriens ego alium quendam heredem institui, eum-
que qui in mea erat potestate exheredem feci; legatum autem
pupillo, cui ipse erat tutor reliqui. cum petiisset filius meus
legatum pupillo relictum, deinceps querellam inofficiosi instituit,
utpote qui nihil ex paternis bonis sit consecutus uidendum

τι βέβλαπται ὡς ἐπιγνοὺς τὴν τοῦ τελευτήσαντος βούλησιν αὐτῷ τούτῳ ᾧ τὸ ληγάτον ἀπήτησεν; καὶ λέγομεν μηδὲν αὐτὸν ὑφίστασθαι πρόκριμα ἐπειδὴ ἐπιτροπικόν τι πράττων officion ἔλαβε τὸ ληγάτον, ὥςτε οὖν ἀκωλύτως suo nomine κινήσει τὴν de inofficioso. 5. Καὶ ἐκ τοῦ ἐναντίου δὲ τοῦτο ζητεῖται. εἶχον 5.
ἐγὼ ἄνηβον παῖδα ὑπεξούσιον· ἕτερον γράψας κληρονόμον τὸν ἄνηβον exheredáton ἐποίησα μηδὲν αὐτῷ καταλιπών· ἐληγάτευσα δὲ νομίσματα $\overline{\rho}$ Τιτίῳ τινὶ, ὃν ἐγὼ κατέλιπον testamentárion ἐπίτροπον τῷ ἀνήβῳ, ἤγουν ὁ ἄρχων δέδωκεν ἢ καὶ ἴσως ἀπὸ νόμου ἐκλήθη. ἐκίνησεν ὁ Títios ὀνόματι τοῦ ἀνήβου τὴν de inofficioso καὶ[1]) ἡττήθη, εὑρέθη γὰρ ἴσως εὐλόγως[2]) ὁ ἄνηβος exheredateuθείς. μετὰ ταῦτα ὁ Τίτιος χωρεῖ κατὰ τοῦ scríptu κληρονόμου τὸ ληγάτον αὐτὸν[3]) ἀπαιτῶν, ὅπερ αὐτῷ κατελείφθη. ἀμάχως λήψεται τοῦτο. 6. Ἀποκλείει δὲ τὴν de 6.
inofficioso τὸ τέταρτον καταλιμπανόμενον τῶν ἐξ ἀδιαθέτου ἢ ἐν κληρονομίᾳ[4]) ἢ ἐν ληγάτῳ ἢ ἐν fideicommíssῳ ἢ mortis causa δωρεᾷ. ἡ δὲ inter uiuos[5]) δωρεὰ οὐ συναριθμεῖται, μήτιγε[6]) ἐπὶ τούτῳ ἐδόθη ὡς ἐν ἐκείνοις τοῖς θέμασιν, ὧν ἡ διάταξις τοῦ θειοτάτου ἡμῶν μέμνηται βασιλέως.[7]) καὶ ἐν[8]) ἑτέροις τρόποις περιεχομένοις τοῖς παλαιοῖς νόμοις καὶ ταῖς θείαις μέντοι διατάξεσιν ἐὰν τὸ τέταρτον περιγένηται τῷ παιδὶ, ἡ de inofficioso σχολάζει. καὶ εἰ μὲν εἷς ἐστὶ παῖς, τὸ τέταρτον δεῖ αὐτῷ καταλιμπάνειν τῆς οἰκείας περιουσίας, εἰ δὲ δύο εἰσὶν ἢ καὶ πλείονες τὸ τέταρτον πᾶσιν καταλειφθὲν ἀναλόγως καὶ ἐξ ἴσου ἡσυχάζειν ποιεῖ τὴν de inofficioso. οἷον δύο εἰσί· δεῖ αὐτοῖς καταλιμπάνειν ἀνὰ μίαν[9]) ἡμίσειαν[10]) οὐγκίαν, εἰ δὲ τρεῖς εἰσὶ, δεῖ αὐτοῖς καταλιμπάνειν ἀνὰ μίαν οὐγκίαν.[11])

---

1) d. M. 2) εὐλ. γ. ἴ. εὑρ. Vi. R. 3) —τῷ Vi. 4) τῷ ἐξ ἀδ. κληρονόμῳ Vi. R. 5) intéruiuos L[1]. hic et deinc: ἡ γὰρ ἰντ. L[6]. 6) εἰ μήπωγε Vi. R. εἰ μήτιγε L[18]. F.: nos ad f. M. L[1]. 7) M. L[1].: cet. β. μ. 8) d. Vi. R. 9) καὶ ins. L[18]. m. 2a. 10) $\overline{ἥ}$μισυ Vi. R.: μίαν οὐγ. πρὸς τῷ ἡμίσει L[6]. 11) breuius L[6].: εἰ δὲ $\overline{γ}$, ἀνὰ μίαν.

an liceat, an potius sibi nocuerit quasi eo ipso paternam agno-
uerit uoluntatem, quo legatum petierit? et magis est ut nul-
lum ei oriatur praeiudicium, namque tutoris officio functus
legatum petiit; et itaque nihil obstat quin suo nomine de in-
5. officioso testamento agat. 5. Et e contrario id quaesitum
est. cum ego filium impuberem in mea potestate haberem,
alio herede scripto, eum exheredem feci, nihil ei relinquens;
legaui autem aureos C Titio cuidam, quem ego tutorem te-
stamento impuberi reliqui, uel quem magistratus dedit uel
forte qui iure uocatus est. de inofficioso impuberis nomine
Titius egit, atque superatus est, forte enim iusta ex causa
impubes exheres factus est. deinde Titius aduersus scriptum
heredem agit ut legatum persequatur sibi relictum. nullus
6. dubito quin consequi possit. 6. Ad querellam excludendam
sufficit quarta pars uel ab intestato uel iure hereditario uel
legati fideiue commissi uel mortis causa donationis relicta.
donatio autem inter uiuos non connumeratur, nisi in illis ca-
sibus, quorum sanctissimi principis nostri constitutio meminit.
set si aliis quoque modis ex ueteribus legibus et diualibus
constitutionibus quarta pars filio deuoluatur, querella inoffi-
ciosi cessat. et si quidem unus filius sit, quarta bonorum
pars ei relinquenda est: sin autem duo pluresue, quarta pars
cunctis simul pro uirili idest pro rata parte relicta querel-
lam inofficiosi impedit. ueluti si duo sint, oportet singulis
sescuncem relinquere; si tres sint, uncia singulis relinqui
debet.

De heredum qualitate et differentia.[1] Titulus 19.

Ὁ κληρονόμος ὄνομά ἐστι γενικὸν, διαιρεῖται δὲ εἰς τρία. τῶν γὰρ κληρονόμων οἱ μὲν λέγονται necessárioi,[2]) οἱ δὲ sûoi necessárioi[3]), οἱ δὲ exstráneoi.[4]) 1. Καὶ τίς ἐστι necessários; 1. ὁ οἰκέτης ὁ γραφεὶς κληρονόμος διὰ τοῦτο οὕτως ὀνομασθεὶς ἐπειδὴ καὶ βουλόμενος καὶ ἄκων παντὶ τρόπῳ μετὰ τὴν τοῦ δεσπότου τελευτὴν εὐθέως ἐλεύθερος καὶ necessários γίνεται κληρονόμος. ἀμέλει οἵτινες ὑπόπτους ἔχουσι τὰς οἰκείας περιουσίας καὶ λογίζονται ὡς οὐδεὶς ἀνέξεται[5]) διὰ τὸ ἄπορον τὴν αὐτῶν καταδέξασθαι κληρονομίαν,[6]) εἰώθασιν ἴδιον οἰκέτην ἐν πρώτῳ ἢ ἐν[7]) δευτέρῳ ἢ καὶ[8]) ἐν τρίτῳ βαθμῷ ἢ καὶ ἐπέκεινα γράφειν κληρονόμον· οἷον, ὁ[9]) Στῖχος ὁ ἐμὸς οἰκέτης ἔστω κληρονόμος; ἰδοὺ ἐν[10]) πρώτῳ βαθμῷ. ἢ δευτέρῳ οὕτως· ἔστω Prîmos κληρονόμος· εἰ δὲ μὴ γένηται, ἔστω Στῖχος ὁ ἐμὸς οἰκέτης κληρονόμος, ἢ καὶ ἐπέκεινα. λοιπὸν οὖν μηδενὸς ἀνεχομένου προσελθεῖν τῇ κληρονομίᾳ, ἐξ ἀνάγκης ὁ Στῖχος ἐλεύσεται καὶ γενήσεται κληρονόμος. καὶ ἐὰν μὴ καταβληθῇ τοῖς credítorsi τοῦ τελευτήσαντος τὰ χρέα,[11]) μηδὲ τὸ ἱκανὸν αὐτοῖς γένηται ἐπὶ τοῖς[12]) ὀφλήμασι, μένει μὲν ἀνύβριστος ὁ τελευτήσας, ἡ δὲ κληρονομία διαπιπράσκεται, οὐκέτι λεγόντων ἐκείνων, ὅτι τὰ τοῦδε τοῦ[13]) τελευτήσαντος διαπιπράσκεται πράγματα, ἀλλὰ τὰ τοῦ Στίχου τοῦ κληρονόμου. γινόμενοι γὰρ[14]) οἱ credítores ἐν νομῇ ἢ διαπιπράσκουσι ταῦτα ἢ μεταξὺ ἀλλήλων μερίζονται.[15]) μισθὸν δὲ τῆς τοιαύτης ὕβρεως ἕξει πρῶτον μὲν τὴν ἐλευθερίαν, ἧς οὐδὲν τιμιώτερον, ἔπειτα κἀκεῖνο αὐτῷ προσγίνεται· ὅσα γὰρ μετὰ τελευτὴν τοῦ οἰκείου πάτρονος ἑαυτῷ προςεπόρισεν ὁ Στῖχος ἐξ ἑτέρων αἰτιῶν, τουτέστιν οὐκ ἐκ προφάσεως τῆς κλη-

1) περὶ κληρονόμων [—ιῶν M. m. 1a.] ποιότητος καὶ [κατὰ M.] διαφορᾶς libri ed. 2) ἤτοι ἀναγκαῖοι ad. Vi. R. 3) om. L18. 4) ἤγουν ἐξωτικοί ad. Vi. R. 5) —ηται F. 6) περιουσίαν L18. Vi. R.: τὴν περ. L6. 7) d. Vi. R. 8) d. L6. Vi. R. 9) d. L1. L18. L6. Vi. R. 10) τῷ ad. Vi. R. 11) ita M. L6.: cet. τὰ χρ. τοῦ τελ. 12) γ. ἐ. τ. d. F2.: γενήσηται L1. 13) d. Vi. 14) δὲ Vi. R. 15) χωρίζονται L6.

De heredum qualitate et differentia. Titulus 19.

Heredis nomen generale est; in tres autem species deducitur. heredum enim quidam necessarii dicuntur, alii sui
1. et necessarii, alii demum extranei. 1. Quis uero est necessarius? seruus heres institutus, qui ideo sic appellatur, quod siue uelit siue nolit omnimodo post domini mortem protinus liber et necessarius heres fit. unde qui suspectas habent facultates suas ac uerentur ut nemo sit propter inopiam eorum bona accepturus, solent suum seruum primo secundo aut tertio uel etiam ulteriore gradu heredem scribere, ueluti: Stichus seruus meus heres esto: quod est primo gradu: uel secundo hoc modo: Primus heres esto: nisi erit, Stichus seruus meus heres esto. et ita deinceps. ceterum si nemo hereditatem adire sustineat, necessario Stichus adibit heresque fiet, atque nisi defuncti creditoribus debitum soluerit, uel pro aere alieno satisfecerit, ignominia quidem defunctus non adficietur, hereditas autem distrahetur, non ita tamen ut dicant creditores illius defuncti bona uenire, set Stichi heredis. cum autem creditores in bonorum possessionem sint missi, aut distrahunt ea aut inter se diuidunt. mercedem autem eiusmodi ignominiae habebit seruus primum quidem libertatem, cuius rei nihil pretiosius est; deinde illud etiam ei praestatur, ut quaecumque post sui domini mortem sibi adquisierit Stichus ex aliis causis, idest non per occasionem hereditatis, ei reseruentur neque in iis molesti

ρονομίας, αὐτῷ φυλαχθήσεται καὶ οὐκ[1] ἐνοχληθήσεται ὑπὸ τῶν creditórων, εἰ καὶ τὰ μάλιστα ἡ τοῦ τελευτήσαντος περιουσία οὐκ ἐξήρκεσεν ἀποπληρῶσαι τὰ ἐποφληθέντα, καὶ οὗτοι μέν εἰσι necessárioi. 2. [a] Sûoi δὲ necessárioi τίνες εἰσὶ σκοπή- 2.
σωμεν.[2] sûoi necessárioí εἰσιν, οἷον υἱὸς θυγάτηρ ἔκγονος ἐκγόνη οἱ ἀπὸ τοῦ υἱοῦ καὶ ἐφεξῆς πάντες παῖδες, οἵτινές εἰσιν in potestate ἐν τῷ καιρῷ τῆς τελευτῆς. ἀλλ' ὁ μὲν υἱὸς καὶ ἡ θυγάτηρ ἔχουσι παρ' ἑαυτοῖς πάντως τὸ sûon, ὁ δὲ ἔκγονος καὶ ἡ ἐκγόνη οὐ μόνον ἐὰν ὦσιν ὑπεξούσιοι τοῦ πάππου τοῦ τελευτήσαντος ἔχουσι τὸ τοῦ súu δίκαιον, ἀλλὰ χρὴ αὐτοὺς[3] πρὸς τὸ κτήσασθαι τὸ sûon καὶ πεπαῦσθαι τὸν αὐτῶν πατέρα, ἐξ οὗ γεγόνασιν, ὑπεξούσιον εἶναι τῷ οἰκείῳ πατρὶ[4] τελευτῇ τυχὸν ἢ emancipatióni ἢ ἑτέρῳ οἱῳδήποτε τρόπῳ ἐξεληλυθότος αὐτοῦ τῆς ὑπεξουσιότητος. τότε γὰρ ὁ ἔκγονος ἢ ἡ ἐκγόνη εἰς τὴν τοῦ οἰκείου πατρὸς ἐπάνεισι τάξιν. καὶ sûoi μὲν διὰ τοῦτο[5] προσαγορεύονται, ἐπειδὴ οἰκειακοὶ κληρονόμοι εἰσὶ, τουτέστι καὶ ζῶντος τοῦ πατρὸς τρόπον τινὰ δεσπόται νομίζονται, ὅθεν καὶ ὁ δωδεκάδελτος πρώτην αὐτοῖς δέδωκε κλῆσιν, τάττων τὰ ἐξ ἀδιαθέτου. καὶ sûoi μὲν κληρονόμοι διὰ τὰς εἰρημένας αἰτίας λέγονται. necessárioi δὲ ἐπειδὴ παντὶ τρόπῳ καὶ θέλοντες[6] καὶ μὴ βουλόμενοι ἐκ διαθήκης ἅμα καὶ ἐξ ἀδιαθέτου γίνονται κληρονόμοι. ἀλλὰ κατὰ μὲν τὸ πολιτικὸν οὐδεμία διαφορὰ necessaríu καὶ súu necessaríu, ὁ δὲ praétωr ὁρῶν πρὸς τὸ φύσει δίκαιον δίδωσιν αὐτοῖς παρρησίαν τοῦ abstinateúein ἑαυτοὺς τῆς πατρῴας κληρονομίας, ἐν ᾧ ταύτην ὕποπτον ἡγοῦνται. ἐν δύο γὰρ εὐγενέσι κάλλιον[7] ὑβρίζεσθαι τὸν τελευτήσαντα ἢ τὸν ζῶντα, τὸν καὶ αἰσθανόμενον τῆς ἐντεῦθεν ἀτιμίας. αὐτοῦ τοίνυν abstinateúsantos, τὰ πράγματα οἱ credítores λήψονται[8] τοῦ τελευτήσαντος οὐ μὴν ἐπ' ὀνόματι τοῦ παιδός. 3. Extráneoi δέ εἰσι πάντες οἱ παρὰ τούτους 3.
ἁπλῶς, ὅσοι μὴ ὑποβέβληνται τῇ τοῦ τελευτήσαντος ὑπεξουσιό-

---

1) d. F. 2) Haec d. F.: habent libri omnes. 3) χρεία αὐτοῖς Vi. R. 4) τοῦ οἰκ. προς Vi. R. 5) εἰσι καὶ ins. L[6]. 6) τε ad. L[1]. F. 7) —λίω F. 8) M.: λ. οἱ κρ. cet.

a) Cf. Theoph. 3, 1, 2.

sint ei creditores, licet defuncti bona ad aes alienum soluendum non sufficiant. et hi quidem necessarii heredes sunt.

2. 2. Sui autem et necessarii quinam sint dispiciamus. sui et necessarii sunt ueluti filius filia nepos neptis ex filio et deinceps ceteri liberi qui modo tempore mortis in potestate fuerint. sed filius quidem filiaque omnimodo sui heredes fiunt, nepotem uero neptemque non sufficit in aui fuisse potestate ut suorum iura praeseferant, set opus est et in potestate fuisse et cessasse ipsorum patrem morte fortasse uel emancipatione uel alio quolibet modo in patris sui potestate degere: tunc enim nepos neptisue in locum patris sui succedunt. et sui quidem ideo uocantur quia domestici heredes sunt, idest, uiuo adhuc patre, quodammodo domini existimantur, unde et lex XII tabularum primo loco eos uocauit, cum successiones ab intestato ordinaret. et sui heredes idcirco dicuntur: necessarii autem quia omnimodo siue uelint siue nolint ex testamento pariter atque ab intestato heredes fiunt. set ex iure ciuili nihil interest inter necessarium heredem atque suum et necessarium, praetor uero naturalem aequitatem respiciens dedit eis facultatem a patris hereditate sese abstinendi, cum eam suspectam habeant. ex duobus enim ingenuis melius est mortuum ignominia adfici, quam uiuum qui eam sentit. cum itaque se abstinuerint, creditores defuncti bonorum in
3. possessionem mittentur, non autem nomine liberorum. 3. Ex-

την ἐληγάτευσά σοι· δίχα fáctu ἤτοι δίχα δόλου τοῦ ἐμοῦ κληρονόμου ἐτελεύτησεν οὗτος ὁ δοῦλος. ὁ ληγατάριος ζημιωθήσεται ἐκ τούτου[1]· εἰ δὲ καὶ ἀλλότριος ἦν ὁ ληγατευθεὶς οἰκέτης, ἠλευθερώθη δὲ οὗτος ὑπὸ τοῦ δεσπότου οὐ κατὰ γνώμην τοῦ κληρονόμου ἢ ἐτελεύτησεν οὗτος, ἀνεύθυνος ὁ κληρονόμος. εἰ δὲ τὸν τοῦ κληρονόμου οἰκέτην ἐληγάτευσά σοι, αὐτὸς δὲ ὁ κληρονόμος τοῦτον ἠλευθέρωσε, κατέχεσθαι τὸν κληρονόμον Iulianós φησιν ἐπὶ[2]) δόσει τῆς διατιμήσεως, οὐ διαφερομένων ἡμῶν πότερον ἠπίστατο ἢ ἠγνόει τὸν τοιοῦτον ὑπ' ἐμοῦ καταλελεῖφθαι οἰκέτην· τὸ αὐτό ἐστιν εἰ καὶ αὐτὸς μὲν οὐκ ἠλευθέρωσε τὸν οἰκέτην, ἐδωρήσατο δὲ αὐτὸν ἑτέρῳ bona fide, τουτέστι μὴ πρὸς περιγραφὴν τοῦ ληγαταρίου,[3]) καὶ ὁ δεξάμενος αὐτὸν κατὰ δωρεὰν ἠλευθέρωσεν. κἀνταῦθα γὰρ ἀπαιτηθήσεται τὴν τούτου διατίμησιν ὁ κληρονόμος εἰ καὶ τὰ μάλιστα ἠγνόει τὸ λεληγατεῦσθαι αὐτόν.[4]) 17. Τὴν ἰδίαν τις θεράπαιναν ἐληγάτευσε μετὰ τῶν ἰδίων τέκνων, εἰπών, ὅτι »ληγατεύω Titíῳ τὴν θεράπαιναν μετὰ τῶν ἰδίων τέκνων.«[5]) ἐπιζήσαντος τοῦ testátoros ἐτελεύτησεν ἡ θεράπαινα· ἐπ' αὐτῇ μὲν ἔσβεσται τὸ ληγάτον, ἐπὶ δὲ τοῖς παισὶν ἔρρωται καὶ οὐ συναναιρεῖται αὐτῇ τὸ ἐπὶ τοῖς παισὶ ληγάτον. ὁ ἐμὸς οἰκέτης λέγεται ordinários, ὁ δὲ τοῦ οἰκέτου μου οἰκέτης λέγεται uicários. ἔχων οὖν τις οἰκέτην Στῖχον λεγόμενον, ὃς εἶχε uicaríus, ἐληγάτευσε τὸν ordinárion ἐμοὶ μετὰ τῶν uicaríωn· συνέβη τὸν ordinárion τελευτῆσαι, κἀνταῦθα ἀσθενῆσαν τὸ ληγάτον ἐπὶ τῷ ordinaríῳ ἰσχύει ἐπὶ τοῖς uicaríois. ἔχε ταῦτα ὡς ἐν προθεωρίᾳ. ἔστι τινὰ πρωτότυπα ἔστι δὲ καὶ τούτων παρακολουθήματα, καὶ ἐφ' ὅσον μὲν ἔρρωται τὰ πρωτότυπα ὑφίσταται καὶ τὰ ἐξ αὐτῶν, ἀνῃρημένων δὲ ἐκείνων, καὶ ταῦτα συναποσβέννυται.[a]) οἷον ἔστι πρωτότυπόν τι[6]) ὁ οἰκέτης, παρακολούθημα δὲ αὐτοῦ[7]) τὸ pecúlion· ἐφ' ὅσον ὁ οἰκέτης ὑφέστηκε 17.

[1]) M.: cet. ἐκ τ. ζ.: antea u. ὁ δοῦλ. d. L[6]. [2]) τῇ ius. Vi. R. [3]) bona —ληγατ. de. Vi. R. [4]) ita M.: εἰ καὶ ἠγνόει τὸ ληγατευθῆναι αὐτόν. cet.: L[1]. habet ληγατεύεσθαι: L[6]. ad. κληρονόμος γὰρ ὢν ὤφειλε μὴ περὶ τούτου ἀγνοεῖν. [5]) εἰπὼν —τέκνων d. Vi. R. μετὰ τ. ἰδ. τ. d. F.: restitui ex M. L[1]. L[18]. L[6]. [6]) d. Vi. R.: τι πρωτ. L[6]. [7]) M.: Vi. R. παραχ. δέ ἐστι: L[1]. F. παραχ. δὲ τὸ πεκ. αὐτ.

a) Epi. 37, 8.

facto seu dolo heredis mei decessit. legatarius damnum sentiet. si alienus erat seruus atque a domino manumissus est, non ex uoluntate heredis, uel decessit, non tenebitur heres. sin autem heredis seruum tibi legaui, heres autem eum manumisit, teneri etiam heredem Iulianus scribit ad pretium soluendum; neque interest scierit an ignorauerit eiusmodi hominem a me fuisse legatum. idem est etiam si ego seruum non manumisi, alii autem bona fide donaui, idest non in fraudem legatarii, et qui accepit eum manumisit: tunc quoque enim eius aestimatio ab herede petietur, quam-
17. uis ignorauerit eum esse legatum. 17. Ancillam suam cum natis suis quidam legauit, his uerbis usus: *Titio ancillam cum natis suis lego.* uiuo testatore, ancilla decessit. in ea quidem extinguitur legatum, in natis autem ualet, neque cum ipsa subolis quoque perit legatum. Seruus meus ordinarius dicitur, eius autem famulus audit uicarius. cum quis seruum nomine Stichum haberet, qui uicarios haberet, mihi ordinarium cum uicariis legauit. decessit ordinarius, legatumque quod ad ordinarium extinctum, in uicariis ualebit. haec tibi primum perspecta sint. quaedam res principales sunt, quaedam accessoriae et quatenus principales subsistunt, subsistere quoque accessoriae intelleguntur; illis uero sublatis, et hae extinguuntur. ut ecce res principalis seruus est, accessoria autem peculium. seruo uero mortuo uel manumisso uel

συνίσταται καὶ τὸ pecúlion· *τοῦ δὲ οἰκέτου ἢ τελευτήσαντος ἢ ἐλευθερωθέντος ἢ ἐποιηθέντος,*[1]) *ἀποσβέννυται τὸ* pecúlion. *πῶς γὰν δύναται*[2]) pecúlion *ὑπεῖναι παρ' ἐμοί*[3]), *τοῦ πρωτοτύπου μὴ ὑφεστῶτος; πάλιν ἐστὶ πρωτότυπον ἀγρὸς, παρακολούθημα δὲ τὸ* instrúmenton *αὐτοῦ.* instrúmenton *δὲ ἀγροῦ ἐστι*[4]) *πᾶν ὅπερ συντείνει*[5]) *εἰς γέννησιν*[6]) *καὶ συλλογὴν καὶ μετακομιδὴν καὶ παραφυλακὴν τῶν καρπῶν. εἰς γέννησιν μὲν, οἷον οἱ γεωργοῦντες οἰκέται βόες ἄροτρα δίκελλα καὶ ὅσα τοιαῦτά ἐστιν.*[7]) *εἰς συλλογὴν δὲ, οἷον*[8]) *δρέπανα καὶ ὅσα*[9]) *τούτοις ὅμοια· εἰς μετακομιδὴν δὲ*[10]), *οἷον ἅμαξαι κόφινοι καὶ τὰ τούτοις παραπλήσια· εἰς παραφυλακὴν, πίθοι κέραμοι φακοὶ καὶ ὅσα τοιαῦτα· ἐπειδή σοι ταῦτα προτεθεώρηται, ὅρα λοιπὸν τὸ προκείμενον· ἐληγάτευσά σοι τὸν ἐμὸν οἰκέτην μετὰ τοῦ* pecolíu *αὐτοῦ. ἐπιζήσας τῇ ποιήσει τῆς διαθήκης ἠλευθέρωσα τὸν οἰκέτην ἢ ἐξεποίησα αὐτὸν ἢ συνέβη αὐτὸν τελευτῆσαι· οὐ μόνον ἐπ' αὐτῷ ἀλλὰ καὶ ἐπὶ τῷ* pecolíῳ *τὸ ληγάτον ἐξασθενεῖ, τῶν γὰρ πρωτοτύπων μὴ σωζομένων, ὑφεστᾶναι οὐ δύναται*[11]) *τὰ παρακολουθήματα. τὸ αὐτό ἐστιν εἰ καὶ ληγατεύσω*[12]) *τὸν ἐμὸν ἀγρὸν* instrûcton *ἤτοι μετὰ τοῦ* instruméntu·[13]) *ἐπιζήσας δὲ τοῦτον ἐκποιήσω. κἀνταῦθα γὰρ ἐπειδὴ τὸ* instrúmenton *τοῦ ἀγροῦ ἐστὶ παρακολούθημα, ἀποσβεσθήσεται τὸ ληγάτον καὶ ἐπὶ τοῦ* instruméntu.[14]) 18. *Ἐληγάτευσά σοι τὴν ἐμὴν ἀγέλην τῶν* 18.
προβάτων·[a]) *συνέβη μετὰ ταῦτα εἰς ἓν πρόβατον τὴν πᾶσαν ἀγέλην περιστῆναι· δύναται ὁ ληγατάριος τὸ περιλειφθὲν ἀπαιτεῖν πρόβατον. τὴν ἐμὴν ἀγέλην ἐληγάτευσά σοι οὖσαν προβάτων ἑκατόν. ἐπιζήσαντός μου, συνέβη ἄλλων ἐπιτεχθέντων γενέσθαι αὐτὴν*[15]) *ρ̅ν̅.*[16]) *καὶ τὰ μετὰ τὴν ποίησιν τῆς διαθήκης ἐπιτικτόμενα συναριθμεῖται τῇ ἀγέλῃ καὶ πάντα λήψεται ὁ λη-*

---

1) *ἀναιρεθέντος ἢ ἐκπ. ἢ ἐλευθ. συνανῄρηται καὶ τὸ πεκ.* L 6. 2) *τὸ* add. Vi. F. R. 3) *ἐμοῦ* M. 4) *ἐστ. ἀγρ.* 5) *συντελεῖ* Vi. R. 6) *γένεσιν* Vi. R. 7) d. Vi. R. 8) addidi ex M. L 1. L 18. L 6. 9) *τὰ* Vi. R. 10) d. M. 11) *—ανται* Vi. R. 12) *σοι* ad. L 1. L 18. 13) *τῶν ἐνστρουμέντων* Vi. R. 14) *τῶν —ντων* Vi. R. 15) *αὐτ. γ.* L 6. 16) *ἑκ. καὶ πεντ.* Vi. F. R.

a) Suppl. Bas. sch. p. 1.

alienato, peculium quoque extinguitur. quomodo enim consistere peculium poterit, cum seruus, quo id nititur non subsistat? et rursus res principalis fundus est, accessoria autem eius instrumentum. instrumentum uero fundi ex omnibus constat, quae fructuum quaerendorum cogendorum et conseruandorum causa sunt comparata. quaerendorum, fructuum causa sunt serui qui opus rusticum faciunt, boues aratra bidentes et cetera id genus. cogendorum fructuum causa comparata sunt falces et quae eiusmodi sunt; exportandorum causa plaustra corbes et omnia similia; conseruandorum fructuum causa dolia cupae lenticulae et quaecumque id genus. cum haec tibi perspecta sint, uide quae inde sequantur. seruum meum cum eius peculio tibi legaui; testamento condito superuiuens seruum manumisi uel alienaui uel eum mori contigit, non solum in eo, set etiam in peculio ratum non habebitur legatum; eo enim quod praecipuum est non seruato, subsistere accessorium nequit. idem est si fundum meum instructum, idest cum instrumento legauerim, superuiuens autem eum alienauerim. hic enim quoque cum instrumentum fundi accessorium sit, legatum etiam
18. in instrumento extinguetur. 18. Cum tibi gregem meum legassem, factum est postea ut ad unam ouem totus grex perueniret: poterit legatarius quae superfuerit ouem uindicare. gregem meum C ouium tibi legaui; me uiuo, aliis superuenientibus, ad CL usque oues auctus est. etiam quae post testamentum conditum natae sunt gregi connumerantur, om-

γατάριος ὥς φησι Iulianós. ἡ γὰρ ἀγέλη ἕν τι σῶμά ἐστι συνεστηκὸς ἐκ διαφόρων κεφαλῶν, ὥςπερ καὶ ἡ οἰκία ἐστὶν ἓν σῶμα 19.
συνεστηκὸς ἀπὸ συνηνωμένων λίθων ἤτοι ὅλων. 19. Ἀμέλει ἐὰν οἰκίαν σοι ληγατεύσω, μετὰ δὲ τὴν[1]) διαθήκην κίονας ἢ μάρμαρα προςθῶ ταύτῃ, λήψῃ καὶ τὰ[2]) προςτεθέντα. 20. 20.
Ἐληγάτευσά σοι τοῦ ἐμοῦ οἰκέτου τὸ pecúlion ἔχον πράγματα νομισμάτων δέκα·[3]) εἴτε γένηται δεκαπέντε[4]), εἴτε πέντε, ζῶντος ἐμοῦ[5]), τοῦτο σὲ ὁρᾷ τὸν ληγατάριον, εἴτε κέρδος ἐστὶν εἴτε ζημία. ἔχε ταῦτα ὡς ἐν προθεωρίᾳ.[a]) προχώρησίς ἐστι τῶν μήπω ληφθέντων ληγάτων εἰς κληρονόμους παραπομπή. ὅπερ δέ ἐστι τῷ αὐτεξουσίῳ ὁ κληρονόμος τοῦτο τῷ οἰκέτῃ ἐστὶν ὁ δεσπότης. ὅπερ γὰρ δύναμαι ἐγὼ ὁ αὐτεξούσιος πρὸ τῆς λήψεως ἐπὶ τὸν ἐμὸν παραπέμψαι κληρονόμον, τοῦτο ὁ οἰκέτης προςπορίσει τῷ δεσπότῃ, ὃ δὲ μὴ[6]) δύναται[7]) προχωρεῖν, μηδὲ εἰς κληρονόμον μετιέναι, τοῦτο δεσπόταις οὐ προςπορισθήσεται.[8]) προχωρεῖ δὲ τὰ ληγάτα ἐπειδὰν κατενεχθῇ ἐφ' ἡμᾶς. καταφορὰ δέ ἐστιν ἡ τῆς ἀγωγῆς ἅρμοσις· ἁρμόζει δὲ ἐπὶ μὲν τῶν púrων morte testatoris,[9]) ἐπὶ δὲ τῶν αἱρετικῶν μετὰ τὴν ἔκβασιν τῆς αἱρέσεως. πάλαι μὲν[10]) γὰρ ab adita hereditate προεχώρει τὰ ληγάτα. ἀλλ' ἐπειδὴ τοῦτο τοῖς ληγαταρίοις ἦν ἐπιζήμιον (οἱ γὰρ κληρονόμοι ὁρῶντές τινας τῶν ληγαταρίων ἐπικινδύνως ἐσθότε νοσοῦντας,[11]) ὑπερετίθεντο τὴν aditíona, ὥςτε αὐτοῖς μὴ ἁρμόσαι τὰ ληγάτα, μηδὲ ἐπὶ τοὺς αὐτῶν διαβῆναι κληρονόμους), διὰ τοῦτο ἤρεσεν, ὥςτε a morte testatoris γίνεσθαι τὴν προχώρησιν ἤτοι καταφορὰν, ἐπειδὴ οὗτος ὁ χρόνος οὐκ ἐν τῇ γνώμῃ ἀπόκειται[12]) τοῦ κληρονόμου. ἔστι δὲ εὑρεῖν καὶ σήμερον ληγάτα τινὰ διὰ τὴν τῶν

---

1) d. Vi. R. 2) προσθ., ταῦτα λ. τὰ πρ. Vi. R. 3) M.: cet. πρᾶγμα ι̅ ν̅ν̅⁰. 4) Ita M. L[1]. (ι̅ε̅ L[2]. L[6].: hinc rursus incipit L[2].): cet. πεντεκαίδεκα. 5) μου F. 6) οὔτε M. 7) —μαι M. 8) hinc incipit Codex Vaticanus. 9) —ρος V.: ἤγουν ἀπὸ θανάτου τοῦ διατιθεμένου V. μετὰ θ. τοῦ διαθ. Vi. R. 10) d. V. 11) τῶν ληγ. ἐσθότε τινὰς ἐπικ. νοσ. V. 12) ὑπόκ. V. L[6].

a) Schol. ad. Epi. 37, 63.

nesque legatarius accipiet, ut Iulianus scribit. grex enim
unum corpus quodammodo efficit ex distantibus constans ca-
pitibus, sicuti et aedium unum est corpus ex cohaerentibus
19. lapidibus aliaque materia constans. 19. Itaque si aedes tibi
legauero, postque testamentum conditum columnas uel mar-
20. mora iisdem addidero, adiecta quoque accipies. 20. Serui
mei peculium tibi legaui, in quo aurei X erant; deinde XV
uel V aureorum factum est, me uiuo. id te legatarium
spectat, siue lucrum siue damnum. Haec in primis perspecta
habeas. cessio est legatorum nondum perceptorum ad he-
redes transmissio. quod autem patrifamilias heres est, id
seruo est dominus. quod enim ego paterfamilias ante per-
ceptionem heredi meo transmittere possum, id seruus domino
quaerit. quod autem cedere nequit neque ad heredes trans-
mitti, id dominis non quaeritur. cedunt uero legata, cum ad
nos deferuntur. delatio tunc fit, cum actio competere inci-
pit: competit autem actio in puris legatis a morte testatoris,
in condicionalibus uero a condicionis euentu. olim quidem
ab adita hereditate cedebant legata; set cum legatariis id de-
trimento erat (cum enim heredes legatarios uiderent graui
forte morbo conreptos, aditionem differebant, ut neque eis le-
gata deberentur, neque ad eorum transmitterentur heredes),
ideo placuit ut a morte testatoris cessio seu delatio incipe-
ret. hoc enim tempus non in heredis arbitrio positum est.
inueniuntur tamen hodie quoque legata quaedam, quae pro-

κανόνων περίστασιν ab adita[1]) hereditate *κατὰ τὸ ἀρχαῖον ἔχοντα*[2]) *τὴν προχώρησιν. ἐπειδή σοι ταῦτα προτεθεώρηται, ὅρα λοιπὸν τὸ προκείμενον. Στίχου τοῦ ἐμοῦ οἰκέτου*[3]) *ἐληγάτευσα τὸ* pecúlion. *μετὰ τὴν ἐμὴν τελευτὴν πρὸ τῆς* aditíonos *Στῖχος ὁ εἰρημένος προςεκτήσατό τινα. ἆρα ταῦτα τίνι ἔσται*[4]) *κέρδος; πότερον μενεῖ*[5]) *παρὰ τῷ*[6]) *κληρονόμῳ ἢ δοθήσεται τῷ ληγαταρίῳ; καί φησιν* Iulianòs[7]) *εἰ μὲν αὐτῷ τῷ Στίχῳ ἐν τῇ διαθήκῃ ἐλευθερωθέντι*[8]) *ἐληγατεύθη τὸ οἰκεῖον* pecúlion, *ἅπαν ὅπερ πρὸ τῆς* aditíonos *προςεκτήσατο*[9]) *τοῦ κληρονόμου αὐτῷ τῷ δούλῳ ἐλευθερωθέντι*[10]) *δοθήσεται. διὰ ποῖον λογισμὸν ἐροῦμεν. ἐπειδὴ τοῦ τοιούτου ληγάτου ἡ ἡμέρα μετὰ τὴν* aditíona *τοῦ κληρονόμου*[11]) *προχωρεῖ, καίτοι εἰ* a morte testatoris *προεχώρει τὸ ληγάτον, ἥρμοζεν ἂν τῷ κληρονόμῳ. τῆς γοῦν*[12]) *ἀλλοιότητος τίς ἡ αἰτία; οἶδας ὅτι προχώρησίς ἐστι τῶν μήπω κτηθέντων*[13]) *ληγάτων ἡ εἰς κληρονόμους παραπομπή. οὗτος οὖν ὁ Στῖχος τὸ ληγατευθὲν αὐτῷ* pecúlion *ἐπὶ τίνα μεταφέρειν ἤμελλε πρὸ τῆς* aditíonos; *ἐπὶ τὸν κληρονόμον οὐκ ἠδύνατο, οἰκέτης γὰρ κληρονόμον ἔχειν οὐ δύναται, ἀλλὰ προςπορίσει τῷ δεσπότῃ. καὶ τίς τούτου δεσπότης πρὸ* aditíonos; *εἰκότως οὖν ἀπροχώρητον μενεῖ τὸ ληγάτον· μετὰ δὲ τὴν*[14]) aditíona, *ἐπειδὴ γέγονεν ἐλεύθερος καὶ κληρονόμον ἔχειν δύναται, εἰκότως καὶ προχώρησιν ἔχει τὸ ληγάτον. ἰδοῦ τοίνυν θέμα, ὃ κατὰ τὴν παλαιὰν νομοθεσίαν ἔχει σήμερον* ab adita hereditate *τὴν προχώρησιν. εἰκότως οὖν ἐπειδὴ πρὸ τῆς προχωρήσεως ηὐξήθη τὸ ληγάτον, πάντα καὶ*[15]) *τὰ προςκτηθέντα ἐπὶ τὸν Στῖχον τὸν ληγατάριον*[16]) *παραγίνεται. εἰ δὲ ἐξωτικῷ τινι τὸ Στίχου τοῦ οἰκέτου* pecúlion[17]) *ἐληγάτευσα, τὰ μετὰ τὴν ἐμὴν τελευτὴν πρὸ*[18]) aditíonos *προςπορι-*

---

1) adibita M. 2) *ἔχ. κ. τ. α.* V.: *τὴν πρ. κ. τ. α.* L6. 3) *Στίχῳ τῷ ἐμῷ —τῃ* V. F. 4) *τὸ* ad. V. 5) *μένει* F. *δοθήσεται κλ.* V. 6) d. L1. 7) d. M. 8) *ἐλ. ἐν τῇ δ.* Vi. R. 9) *ἐκτ.* V. Vi. R. 10) *τ. δ. ἐλ.* omittunt edit.: restitui ex M. L1. L2. V. L6. 11) d. V. 12) *ἤγουν* M. 13) *ληφθέντων* V. L6. 14) d. M. 15) *καὶ πάντα* cj. R. 16) M. V. L6.: *τὸν Στ. λ.* L1. F.: *Στ. τὸν λ.* Vi. R. 17) d. V. 18) *μετὰ τ. ε. τ. τὰ πρὸ* V. L1. F.

pter iuris regulas ab adita hereditate more uetere cedunt. cum haec tibi perspecta habeas, uide quid inde sequatur. Stichi serui mei peculium legaui, qui post mortem meam, ante uero aditionem quaedam sibi quaesiuit. utri haec lucro erunt? utrum heredi an legatario? et placuit Iuliano si ipsi Sticho in testamento manumisso fuerit peculium legatum, quidquid ante heredis quaesierit aditionem, seruo ipsi manumisso cedere. qua autem ratione dicemus. eiusmodi enim legati dies ab heredis aditione cedit; nam si a morte testatoris cederet, heredi deberetur. differentiae autem quaenam est causa? cessionem esse legatorum nondum perceptorum ad heredes transmissionem probe nosti. hic autem Stichus legatum sibi peculium ante aditionem cuinam transmittere poterat? ad heredem nequaquam; seruus enim heredem habere nequit, set domino quaerit. et quis ante aditionem eius est dominus? merito igitur non cedit legatum. post autem aditionem cum liber sit factus heredemque habere potuerit, cedere posse legatum palam est. en igitur casum, in quo hodie quoque ex uetere iure cedit ab adita hereditate legatum. iure itaque cum ante cessionem creuerit legatum, lucrum omne ad Stichum legatarium transibit. sin autem extraneo cuidam Stichi peculium legauerim, quae post mortem mea addita fuerint apud heredem manebunt. eiusmodi enim

σθέντα μενεῖ παρὰ τῷ κληρονόμῳ. τὸ γὰρ τοιοῦτον ληγάτον a morte testatoris προχωρεῖ. ταῦτα δὲ λέγω ὅτι τὰ κτηθέντα μετὰ τὴν ἐμὴν τελευτὴν οὐ δίδοται τῷ ληγαταρίῳ, εἰ μὴ ἄρα τὰ ἐπιγενόμενα ἐκ πρωτοτύπων πραγμάτων ὄντων ἐν τῷ peculίῳ προςγέγονεν. οἷον θεράπαινα ἦν ἐν τῷ peculίῳ καὶ τέτοκεν· ἀγρὸς καὶ γεγόνασιν ἐντεῦθεν[1]) καρποί. ὀφείλεις δὲ εἰδέναι ὅτι ἐλευθερουμένῳ τῷ οἰκέτῃ ἐν διαθήκῃ οὐχ ἕπεται[2]) τὸ pecúlion. εἰ δὲ inter uiuos[3]) αὐτὸν ἐλευθερώσω, λήψεται τὸ pecúlion ὁ ἐλευθερωθείς, εἰ μὴ ἄρα ἰδικῶς ademptεύσω αὐτό. τοῦτο γὰρ Σεβῆρος καὶ Ἀντονῖνος ἀντέγραψαν οἱ θειότατοι. ὁ δὲ ἐμὸς οἰκέτης ἔχει ἐν peculίῳ οὐ μόνον ὅσα κτᾶται ἐξ οἱαςδήποτε αἰτίας, ἀλλὰ καὶ ἐάν τι δαπανήσῃ περὶ[4]) ἐμὲ τὸν δεσπότην, τοῦτο αὔξει τὸ pecúlion. οἷον εἶχέ τις α νν⁰[5]) pecúlion, ἐχρεώστουν δὲ αὐτῷ[6]) ἑκατὸν νομίσματα, ἅπερ ἔτυχε περὶ ἐμὲ δαπανήσας. ἔσται τὸ pecúlion αὐτοῦ[7]) χιλίων καὶ ἑκατὸν νομισμάτων. εἰ τοίνυν τὸν τοιοῦτον οἰκέτην ἐλευθερώσω ἐν διαθήκῃ, ληγατεύσω δὲ αὐτῷ τὸ pecúlion[8]), ὅτε[9]) μὲν λαμβάνει τὰ χίλια νομίσματα συνωμολόγηται· ἄρα δὲ καὶ τὰ ἑκατόν, ἅπερ ἔτυχε δαπανήσας περὶ ἐμέ[10]); οἱ αὐτοὶ βασιλεῖς ἀντέγραψαν μὴ ἔχειν αὐτὸν ἐπὶ τούτοις ἀπαίτησιν, τὰ γὰρ ἐν προχείρῳ ὄντα ἔδοξα ληγατεύειν αὐτῷ, οὐ μὴν ἅπερ ἐδαπάνησε περὶ τοὺς ἐμοὺς λογισμούς. ἐὰν δὲ τὸν διοικητὴν τῆς ἐμῆς οὐσίας[11]) ἐλευθερώσω ἐν διαθήκῃ ὑπὸ αἵρεσιν τὴν ἐὰν παράσχῃ λογισμοὺς τῆς ἰδίας[12]) διοικήσεως, ληγατεύειν αὐτῷ δοκῶ τὸ pecúlion καὶ λέγειν (ὡς τοῖς αὐτοῖς ἤρεσε βασιλεῦσιν) ἐκ τοῦ δοκοῦντος αὐτῷ ληγατεύεσθαι[13]) peculíu δεῖν αὐτὸν τὰς λοιπάδας καταβάλλειν. πόθεν γὰρ[14]) οἰκέτης ὢν ἤμελλεν ἀποπληροῦν τὰ ἐποφειλόμενα, εἰ μὴ ἐκ τοῦ peculíu, ἐξ οὗ ἤμελλε καταβάλλειν εἰ καὶ ζῶν ὁ δεσπότης ἀπῄτει αὐτὸν

---

1) —ταῦθα Vi. R. 2) αὐτῷ ad. V. L6. 3) uiuios M.: ἰντερβίβως L6. 4) πρὸς V. 5) χίλια ν—α M. 6) καὶ ad. M. V. L6. 7) addidi ex M. L1. V. L6. 8) αὐτοῦ χιλίων ἑκατὸν νν⁰ ad. L1. 9) d. M. 10) π. ε. δ. Vi. F. R. ἐμοῦ M. 11) οἰκίας V. m. 1 a. 12) οἰκείας V. Vi. R. 13) ληγατ. αὐτ. L1. L2. Vi. R. 14) d. G.

legatum a morte testatoris cedit. quod autem diximus res post testatoris mortem quaesitas legatario non deberi ita uerum est nisi ex rebus peculiaribus auctum fuerit peculium. ut ecce ancilla in peculio erat, quae peperit: fundus, qui fructus tulit. admonendus es praeterea seruum testamento manumissum peculium non sequi. quod si inter uiuos eum manumisero, peculium manumissus accipiet, nisi id specialiter ademerim. idque diui Seuerus et Antoninus rescripserunt. seruus autem meus non tantum ea in peculio habet, quae ex quacumque causa fuerit adeptus, set si quid pro me domino suo expenderit, id quoque peculium augebit. ut ecce M. aureorum quidam peculium cum habeat, si ei C. aureos debeam, quos ille pro me expenderit, peculium erit MC aureorum. si igitur eiusmodi seruum testamento manumisero, eique peculium legauero, eidem M aureos debitum iri non ambigitur; nunc C quoque, quos ille propter me expendit? et iidem diui principes rescripserunt hos illi non competere, quae enim praesto essent eidem legasse uideor, non quae in rationes meas expendisset. sin autem bonorum meorum dispensatorem testamento manumisero ea condicione, ut administrationis suae rationes redderet, ei peculium legasse uideor, (ut iisdem principibus placuit) ut ex peculio, quod ei legatum intellegitur, residua solueret. unde enim seruus quae debuerit soluere posset nisi ex peculio? nam ex eo soluturus fuisset etiam si

τὰ λοιπασθέντα;. 21. Οὐ μόνον σωματικὰ, ἀλλὰ καὶ ἀσώματα 21.
πράγματα δυνάμεθα ληγατεύειν. διὸ ἐάν τις ἐποφείλει μοι[1])
νομίσματα ρ̄, δύναμαι τὴν κατὰ τούτου ἀγωγὴν ἑτέρῳ ληγατεύειν. ἀναγκάζεται δὲ ὁ κληρονόμος ταύτην ἐκχωρεῖν[2]) τῷ ληγαταρίῳ. εἰ δὲ ἐπιζήσας τῇ διαθήκῃ ἀπαιτήσω τὸ χρέος, ἀποσβέννυται τὸ ληγάτον. ἰδοῦ τοίνυν ἐνταῦθα ἀσώματόν ἐστι τὸ καταλειφθέν, ἐληγατεύθη γὰρ ἀγωγή. ἔρρωται τὸ ληγάτον τὸ οὕτω καταλειφθέν· »καταδικάζω σε ὦ κληρονόμε τὴν τοῦδε οἰκίαν ἀνανεῶσαι« ἤγουν »Τίτιον ἐλευθερῶσαι τῶν χρεῶν οἷς ἐνέχεται.« 22. Γενικῶς τις ἐληγά- 22.
τευσεν οἰκέτην ἢ ἕτερον οἱονδήποτε[3]) πρᾶγμα εἰπών· »δίδωμι καὶ ληγατεύω τῷδε οἰκέτην«, ἢ »δίδωμι καὶ ληγατεύω τῷδε ἵππον.« ζητῶμεν τίνι δίδοται ἡ ἐπιλογὴ πότερον τῷ κληρονόμῳ, ὥςτε καταβάλλειν ὃν βούλεται ἢ τῷ ληγαταρίῳ, ὥςτε λαβεῖν τὸν αὐτῷ ἀρέσκοντα. καὶ λέγομεν τὸν ληγατάριον ἔχειν τὴν ἐπιλογὴν, εἰ μὴ ἰδικῶς τὸ ἐναντίον εἶπεν ὁ testátωr. 23. Τὸ τῆς optíonos[4]) ληγάτον, τουτέστιν ἔνθα 23.
ὁ τελευτήσας ἐκ τῶν ἰδίων οἰκετῶν ἢ ἐκ τῆς ἰδίας ἐσθῆτος ἢ[5]) βιβλίων τὸν ληγατάριον ἐκέλευσεν ἐπιλέξασθαι αἵρεσιν ἔχει ἐν ἑαυτῷ. ὅθεν εἰ μὴ ὁ ληγατάριος αὐτὸς ἐπιλέξηται[6]) ζῶν, ἀλλὰ πρὸ τῆς ἐπιλογῆς τελευτήσῃ[7]), οὐ διαβαίνει τὸ ληγάτον ἐπὶ τὸν αὐτοῦ κληρονόμον διὰ τὸν κανόνα τὸν λέγοντα· »αἱρετικὸν ληγάτον πρὸ τῆς ἐκβάσεως τῆς αἱρέσεως τελευτήσαντος τοῦ ληγαταρίου ἐπὶ κληρονόμον[8]) οὐ μετέρχεται.« optíωn δέ ἐστιν[9]), ἡνίκα οὕτως εἶπεν ὁ testátωr· optato Titius ex mea familia unum seruum[10]). ἀλλὰ ταῦτα μὲν τὸ παλαιὸν, διάταξις δὲ τοῦ θειοτάτου ἡμῶν βασιλέως καὶ[11]) τοῦτο μετήγαγεν ἐπὶ τὸ κάλλιον· δέδωκε γὰρ παρρησίαν καὶ τῷ κληρονόμῳ τοῦ λη-

1) d. G. 2) scripsi ex M. L^1. L^2. L^6.: cet. ἐγχ. 3) d. Vi. R. 4) M.: ΟΒΤΊΟΝΟΒ L^1.: ὀρτίονος V. L^2. L^6. Epi.: ὀπτίωνος edit.: ἤγουν τῆς ἐπιλογῆς ad. Vi. R. 5) τῶν ad. V.: ἤτοι β. L^6. 6) ἐπ. αὐτ. V. 7) —ήσας V. ἐτελεύτησεν Vi. R. 8) —ους V. L^6. Vi. R. 9) ἤτοι ἐπιλογὴ add. V. L^6. Vi. F. R.: deleui cum M. L^1. L^2. 10) dedi ex M.: ex tota mea f. L^1. F. de mea f. Vi. R. [ἤτοι L^6. Vi. R.] ἐπιλεξάσθω [τίτιος V.] ἐκ τῆς ἐμῆς φαμιλίας ἕνα δοῦλον V. L^6. Vi. R. 11) d. Vi. R.

21. ab eo uiuus dominus residua petiisset. 21. Nec tantum cor-
porales, set et incorporales res legari possunt. quare si quis
mihi aureos C debet, possum actionem, quae mihi aduersus
eum competit, alii legare. cogitur autem heres hanc legata-
rio praestare. sin autem testamento superuiuens debitum
petiero, legatum extinguitur. hoc igitur casu incorporalis res
relinquitur: actio enim legata est. ualet legatum hoc modo
relictum: »damnas esto heres illius aedes reficere«
uel »Titium aere alieno liberare, quo tenetur.«
22. 22. Si quis generaliter seruum uel quamlibet aliam rem le-
gauerit his uerbis: »huic hominem do lego« uel »huic
equum do lego,« queritur utri detur electio; utrum heredi
ut quem uelit soluat, an legatario ut, qui sibi placeat acci-
piat. et magis est ut legatarius electionem habeat, nisi aliud
23. specialiter dixerit testator. 23. Optionis legatum idest cum
defunctus legatarium iusserit ex sua familia, uel ex sua ueste,
uel libris optare, condicionem in semetipso habet. quare si le-
gatarius uiuens non optauerit, set ante optionem mortuus sit,
legatum ad eius heredem non transmittitur propter iuris re-
gulam, quae ait legatum sub condicione relictum si legatarius
ante condicionis euentu moriatur, ad heredem non transmitti.
optio autem tunc fit, cum testator dicit: »optato Titius
ex tota mea familia unum seruum.« set haec quidem
olim; sanctissimi uero principis nostri constitutio id quoque
in meliorem statum reformauit. dedit enim heredi quoque

γαταρίου τὸν οἰκέτην ἐπιλέγεσθαι, οἷον[1]) *ὁ ληγατάριος οὐκ ἐπελέξατο περιών· ἐπιμελέστατα δὲ τοῦτο τρακταΐσας κἀκεῖνο τῇ οἰκείᾳ*[2]) *προστέθεικε*[3]) *διατάξει. ἐπειδὴ γὰρ τὸ παλαιὸν δύο τισὶν ἢ καὶ πλείοσιν*[4]) optíonos *καταλειφθείσης, εἰ συνέβη μὴ ὁμονοεῖν αὐτοὺς περὶ τὴν ἐπιλογήν, ἀλλ' ὁ μὲν Στῖχον, ὁ δὲ Πάμφιλον ἐπελέγετο*[5]), *κατὰ μέν τινας τῶν νομικῶν ἡσύχαζε τέως ἡ τοῦ ληγάτου ἀπαίτησις, ἕως οὗ ὡμονόησαν, κατὰ τινας δὲ*[6]) *ἀπεσβέννυτο τῇ διχονοίᾳ, ἐκέλευσεν ἐν τῇ αὐτῇ διατάξει, εἴτε ἑνὸς ληγαταρίου πολλοὶ ἦσαν κληρονόμοι, οἵτε*[7]) *περὶ τὴν ἐπιλογὴν οὐχ ὁμοφρονοῦσιν,*[8]) *εἴτε πολλοὶ ληγατάριοι ὄντες οὐ τὸν αὐτὸν ἐπιλέγονται οἰκέτην καὶ οὐχ ὁμοφρονοῦσι, μὴ ἀπόλλυσθαι τὸ ληγάτον (εἰ καὶ τοῖς πλείοσι τῶν νομικῶν οὐκ ἐδόκει τοῦτο ἐναντιουμένοις τῷ καλῶς ἔχοντι), ἀλλὰ τὴν τοιαύτην* optíona *ἤτοι* electíona[9]) *τύχῃ ἐπιτρέπειν καὶ τὴν ἐκεῖθεν ἀναμένειν κρίσιν, κλήρου γὰρ*[10]) *γενομένου, ᾧ τοῦτο παρέσχεν ὁ κλῆρος, ἐκεῖνον ἔχειν τὴν* optíona *ἤτοι* electíona[11]), *καὶ τοὺς ἄλλους συλληγαταρίους ἢ συγκληρονόμους ἕπεσθαι τούτῳ*[12]) *κἀκεῖνο λαμβάνειν, ὃ*[13]) *ἐπελέξατο ὁ ὑπὸ τοῦ*[14]) *κλήρου*[15]) *τιμηθείς.* 24. *Ἐκείνοις*[16]) *ληγατεύειν μόνοις δυνάμεθα, μεθ' ὧν* 24. *ἔχομεν* testamentifactíona. 25. Incértois *προσώποις οὔτε* 25. *ληγάτα οὔτε* fideicómmissa *καταλιμπάνειν ἔξεστιν. καὶ οὐ μόνον ἐπὶ παγανῶν τοῦτο κρατεῖ, ἀλλ' οὐδὲ στρατιώταις ἐπιτέτραπται, ὡς ἀντέγραψεν* Adrianòs *ὁ θειότατος·* íncerton *δὲ πρόσωπόν ἐστιν, ὅπερ ἀδήλῳ κρίσει ὁ* testátωr *ἑαυτῷ ὑπέθετο,*[17]) *περὶ οὗ ἐρωτώμενος*[18]) *οὐδὲν σαφὲς εἰπεῖν δύναται. οἷον, ἐάν τις οὕτως εἴπῃ »ὅςτιςδήποτε τῷ ἐμῷ τὴν ἰδίαν*[19]) *θυγατέρα υἱῷ*[20]) *πρὸς γάμον κατεγγυήσῃ*[21]) *λαμβανέτω*

---

1) *ὃν* Vi. R. 2) *ἰδίᾳ* V. 3) *διέθετο* V. 4) *—ωνος* V. 5) M.: *ὁ μὲν Στ. ἐπ. ὁ δὲ Π.* cet. *ἐπιλέγεται* Vi. R. 6) *δέ τ.* Vi. R. 7) *εἴτε* Vi. F 1.: *εἶτα* L 6. 8) M.: cet. *—φωνοῦσιν*, V.: *—φώνουν*. 9) elegatíona M. lectíona L 1. 10) *ἤτοι λοχμοῦ* V. L 6. Vi. R. 11) eligitíona M. electíona L 1.: d. L 6. 12) *τοῖς ἄλλοις συλληγ. ἢ συγκλ. ἕπεσθαι τοῦτο* M. V.: *ἅπτεσθαι* L 6. 13) *κἀκεῖνον, ὃν* V. Vi. R. 14) d. Vi. R. 15) *κληρονόμου* L 1. 16) *δὲ* ad. Vi. R. 17) *ὑπερέθ.* M. 18) *αἰτώμενος* V. 19) *ἐμὴν* V. 20) M. cet.: *τῷ ἐμ. υἱ. τ. ι. θ.* 21) *—σηται* V.

legatarii hominem eligendi licentiam, quem legatarius uiuens non optauerit. diligentissime autem cum haec tractaret illud quoque suae adiecit constitutioni. cum olim duobus quibusdam uel pluribus optione relicta, si de optione non consentirent, set unus Stichum, Pamphilum alter eligeret, ex quorundam prudentium sententia eousque legati petitio cessaret, donec conuenirent, ex aliorum autem propter controuersiam extingueretur, in eadem constitutione iussit siue legatario plures extiterint heredes, qui de electione dissentiant, siue plures extiterint legatarii qui de homine eligendo inter sese non conueniant, legatum quidem non peremi, licet plerumque prudentium alia fuerit sententia aequitati contraria; set eiusmodi optionem siue electionem fortunae committi indeque id esse dirimendum. sorte enim iacta, cui id sors dederit, optionem siue electionem habebit; idque ceteros legatarios siue heredes sequitur id accipientes quod is elegerit, cui sors fauerit.
24. 24. Illis tantum legare possumus, cum quibus testamenti-
25. factionem habemus. 25. Incertis personis neque legata neque fideicommissa relinquere licet. neque tantum id in paganorum testamentis optinet, set neque militibus conceditur, uti diuus Hadrianus rescripsit. Incerta autem persona est, quam incerta opinione animo suo testator subiecit, de qua interrogatus nihil certi afferre posset. ueluti si quis ita dicat: quicumque filio meo filiam suam in matrimonium collocauerit a meo herede illum fundum accipiat. uel ita: eis qui primi post mortem meam

*παρὰ τοῦ ἐμοῦ κληρονόμου τόνδε τὸν ἀγρόν.« ἢ
οὕτως· »τοῖς πρώτοις μετὰ τὴν ἐμὴν τελευτὴν χειρο-
τονουμένοις ὑπάτοις διδότω ὁ ἐμὸς κληρονόμος ἑκα-
τὸν*[1]) *νομίσματα.«* íncerton *κἀνταῦθα τὸ πρόσωπον· ἄδη-
λος γάρ ἐστι τίς μελλει*[2]) *τὴν ἰδίαν θυγατέρα διδόναι πρὸς γά-
μον τῷ παιδὶ τοῦ* testátoros, *ἢ τίς μέλλει* designateúe*σθαι*[3])
μετὰ τὴν διαθήκην ὕπατος. ἐρωτώμενος γὰρ ὁ testátωr *περὶ
αὐτοῦ οὐκ ἂν εἴποι*[4]) *τι σαφές. καὶ ἕτερα δὲ πολλὰ θέματα
δυνατὸν ἐπινοῆσαι. καὶ ἐλευθερία δὲ* incértῳ *προσώπῳ κατα-
λιμπανομένη ἄχρηστός ἐστιν· ἤρεσε γὰρ ὀνομαστὶ τοὺς οἰκέτας
ἐν διαθήκῃ ἐλευθεροῦσθαι. ὑπὸ δὲ* cértan demonstratíona[4])
incértῳ *προσώπῳ ἰσχυρῶς ληγατεύομεν.*[5]) *οἷον ἐὰν εἴπω· »ἐκ
τῶν νῦν ὄντων μοι συγγενῶν ἐάν τις τὴν ἐμὴν θυγα-
τέρα λάβῃ πρὸς γάμον, λαμβανέτω παρὰ τοῦ ἐμοῦ
κληρονόμου τόδε τὸ πρᾶγμα.« ἐνταῦθα γὰρ τὸ μὲν
πρόσωπον ἄδηλον, ἡ δὲ* demonstratíωn, *τουτέστιν ἡ ὁμάς, δήλη·
εἶπον γὰρ »τῶν νῦν ὄντων μοι συγγενῶν,« οὗτος δὲ ὁ
ἀριθμός δῆλός ἐστιν.* incértῳ *προσώπῳ κατέλιπον ληγάτον,
δῆλον ὅτι ἀνυπόστατον τὸ καταλειφθέν. εἰ δὲ κατὰ πλάνην ὁ
κληρονόμος τοῦτο καταβάλῃ*[6]), *οὐ δυνήσεται* repetiteúein. *τοῦτο
γὰρ ταῖς θείαις περιέχεται διατάξεσιν.* 26. *Ὁ ἀλλότριος* po- 26.
stûmos *ἔοικε τοῖς* incértois *προσώποις, διὸ ἀχρήστως αὐτῷ*[7])
ληγατεύομεν. ἔστι δὲ[8]) *ἀλλότριος* postûmos *ἐκεῖνος, ὃς τεχθεὶς*
sûos *οὐ γίνεται*[9]) *κληρονόμος· διὸ ὁ*[10]) *ἐκ τοῦ* emancipátu *μου
παιδὸς συλληφθεὶς καὶ τεχθεὶς ἔκγονος* extráneos *ἔσται*[11]) *μου*
postûmos. 27. *Ἀλλὰ ταῦτα μὲν πάντα κατὰ τὸ παλαιόν, διά-* 27.
ταξις δὲ τοῦ ἡμετέρου βασιλέως ἐν τῷ αὐτοῦ códici *κειμένη
ἅπαν τοῦτο τὸ*[12]) incértωn *παραδόξως διώρθωσεν οὐ μόνον ἐν
κληρονομίαις, ἀλλὰ καὶ ἐν ληγάτοις καὶ ἐν* fideicommíssois. *σα-*

---

1) *δέκα* Vi. R. 2) M.: cet. *ἄδηλον κ. τ. λ. ἀδ. γάρ τις τὴν ἰ. θ. μέλ.* V. L6. 3) *ἤτοι ἀποδείκνυσθαι* ad. V. L6. Vi. R. 4) *—κῃ* Vi. R. 5) certam demonstrationem F. 6) *—άλλει* M. *ἔβαλεν* Vi. R. 7) *—τοῖς* Vi. R. 8) *ὁ* ommisicum M. 9) *οὐκ ἐγίνετο* V. 10) d. M. 11) *ἐστί* L6. 12) *τῶν* ad. V. L1. L2. Vi. R.

consules designati erunt, det heres meus aureos C. incerta hic persona est; non enim liquet quis filiam suam in matrimonium testatoris filio collocaturus sit, nec quis post testamentum consul designatus erit: de eo enim testator interrogatus nihil certi afferre posset. et plures alias eiusmodi species excogitare licet. set libertas quoque incertae personae relicta inutilis est, placuit enim nominatim seruos in testamento esse manumittendos. sub certa demonstratione incertae personae ualide legare possum. ueluti si dicam: *qui ex cognatis meis, qui nunc sunt, filiam meam uxorem duxerit, a meo herede illam rem accipiat.* hic enim persona est incerta; demonstratio autem, idest uniuersitas certa est. dixi enim: *ex cognatis meis, qui nunc sunt*: qui numerus certus est. Si incertae personae legatum reliquero, procul dubio inutiliter relictum est. sin autem per errorem heres id soluerit, repetere non poterit. id enim di-
26. ualibus constitutionibus cauetur. 26. Alienus postumus incertis personis comparatur, et ideo inutiliter ei legamus. ille autem alienus postumus uocatur, qui natus suus heres non est futurus. quare nepos ex emancipato filio meo conceptus
27. atque natus extraneus postumus mihi fiet. 27. Set haec quidem olim; constitutio autem principis nostri in ipsius codice posita totum ius de incertis personis mire emendauit non solum in hereditatibus, set in legatis quoque et fideicommissis.

φέστατα δὲ ἡ εἰρημένη διάταξις ἀναγνωσθεῖσα δείκνυσιν ἑαυτήν. ἐπίτροπος δὲ incertos δίδοσθαι οὐδὲ ἐκ τῆς προειρημένης δυνήσεται διατάξεως, ὀφείλει γὰρ εἶναι πρόδηλος· δεῖ γὰρ τὸν διατιθέμενον σαφῶς τοῖς οἰκείοις παισὶ καταλιμπάνειν ἐπίτροπον. ἄχρηστος τοίνυν[1]) ἡ δόσις τοῦ ἐπιτρόπου[2]), ἐὰν[3]) ὁ testátωr εἴπῃ,[a]) »ἔστω ἐπίτροπος τοῦ ἐμοῦ παιδὸς ὁ πρῶτος ἐρχόμενος ἐπὶ τὴν ἐμὴν κηδείαν.« 28. Ὁ 28.
ἀλλότριος postûmos κληρονόμος γράφεσθαι ἠδύνατο καὶ πάλαι καὶ νῦν ἀκωλύτως γραφήσεται, εἰ μὴ ἄρα συμβῇ αὐτὸν ἐκείνης ἐν γαστρὶ τῆς γυναικὸς εἶναι, ἣν ἐννόμως γαμετὴν ἔχειν οὐ δύναμαι. 29. Πρὸς δήλωσιν τῶν ὑποκειμένων προσώπων πολλὰς 29.
ἐπενόησαν οἱ παλαιοὶ προσηγορίας. ἔστι γὰρ »nomen« τουτέστι τὸ κύριον[4]) ὄνομα, οἷον »Τίτιος«, »cognomen« τὸ ἐπώνυμον, ὅπερ ἢ ἀπὸ ψόγου ἢ ἀπὸ ἐπαίνου λαμβάνεται· ἀπὸ ψόγου μὲν οἷον »Súperbos«[5]), ἐξ ἐπαίνου δὲ οἷον »Pîos«.[6]) ἐστὶ καὶ »praenomen,«[7]) τουτέστιν ὁ χρηματισμός· οὗτος δὲ λαμβάνεται ἢ ἀπὸ προγόνων ἢ ἀπὸ εὐεργετῶν. ἀπὸ προγόνων μὲν, οἷον ἐάν τις καλέσῃ »Αἰακίδην«[8]) τὸν Ἀχιλλέα, ἀπὸ εὐεργετῶν, ὥςπερ ὁρῶμεν τοὺς ἄρχοντας τῶν ἐπαρχιῶν προτάττοντας τῆς ἰδίας προσηγορίας τὰ ὀνόματα ἐκείνων, δι' ὧν γεγόνασιν, οἷον »Στρατήγιον« ἢ »Κωνσταντῖνον.«[9]) εἰ τοίνυν ληγατεύων τις ἐπλανήθη περὶ τὸ ὄνομα τοῦ ληγαταρίου, καὶ δέον εἰπεῖν Τίτιον εἶπε Seîon, καὶ ἐπλανήθη περὶ τὶ »nomen«, ἢ περὶ τὸ »cognomen«,[10]) δέον γὰρ εἰπεῖν »Superbos« εἶπε »Pîos« ἢ περὶ τὸν χρηματισμὸν, δέον γὰρ εἰπεῖν »Στρατήγιος« εἶπε »Prîmos«, ζητῶμεν εἰ τὸ ληγάτον ἐστὶν ἄχρηστον. καὶ λέγομεν, εἰ ὡμολόγηται περὶ τίνος ἐνεθυμήθη, οὐδὲν ἧττον ἔρρωται τὸ ληγάτον. τὸ αὐτὸ καὶ ἐπὶ κληρονόμων φυλάττεται. εἰ γὰρ γράφων τινὰ κληρονόμον, πλανηθῶ περὶ

---

1) ἔσται deleui cum M. 2) τῶν ἐ—ων V. L^{6}. 3) ὅταν V. L^{6}. 4) τοῦ κυρίου M. 5) ἤγουν ὑπερήφανος V. L^{6}. Vi. R. 6) ἤτοι εὐσεβής ad. V. L^{6}. Vi. R. 7) pronomen M. L^{1}. προν. L^{2}. L^{18}. 8) αἰακὸν M. L^{18}. L^{6}. αἰκὼν L^{2}.: ἑακὸν καλέσῃ V. 9) —τιον V. 10) χρηματισμὸν V. M. uoc. περὶ d. F.

a) Cf. Gai. 2, 231. Rendic. Ist. Lomb. XVI 582.

quae omnia eadem constitutio, si quis legat, euidenter ostendit. tutor uero incertus dari neque ex praefata constitutione potest; debet enim certus esse, cum oporteat testatorem liberis suis tutorem certo iudicio dare. inutilis igitur datio erit, si testator dixerit: qui primum ad meum funus ue-
28. nerit liberorum meorum tutor esto. 28. Postumus alienus heres scribi et olim poterat, et nunc procul dubio scribitur, nisi forte in eius mulieris utero sit, quam uxorem
29. habere iure non permittitur. 29. Ad personas significandas complures appellationes ueteres excogitauerunt. est enim nomen, ueluti »Titius«: cognomen, quod uituperationis uel laudis gratia tribuitur, uituperationis gratia ueluti »Superbus«; laudis ueluti »Pius«. est quoque praenomen, quod a maioribus uel a benefactoribus sumitur; a maioribus ueluti si quis »Aeacidem« Achillem uocet; a benefactoribus, sicuti prouinciarum rectorum mos est, qui suo nomini illud quoque eorum praemittere solent, per quos creati sunt, ueluti »Strategium« siue »Constantinum,« Si igitur quis legatum relinquens in nomine legatarii errauerit et cum »Titium« dicere oporteret, dixerit »Seium«, uel in nomine errauerit, uel in cognomine, ueluti pro »Superbo« dixerit »Pium«, uel in praenomine, et pro »Strategio« »Primum« dixerit, quaeritur an legatum inutile sit. et magis est ut si constet de quo testator cogitauerit, nihilominus legatum ualeat. idem etiam in heredibus obseruatur. si enim aliquem heredem instituens in aliquo eorum, quae proposuimus, errauerim, non

ἕν τι τῶν εἰρημένων, ἡ ἔνστασις ἐντεῦθεν οὐκ ἀκυροῦται καὶ εἰκότως. τὰ γὰρ ὀνόματα δηλώσεως ἕνεκα τῶν ἀνθρώπων[1]) ἐπινενόηται· εἰ δὲ δυνατὸν ἐξ ἑτέρου οἱουδήποτε τρόπου τὸ ὑποκείμενον καταληφθῆναι πρόσωπον, οὐδεμία ἔσται διαφορὰ οὐδὲ βλάβη ἐκ τῆς περὶ τὸ ὄνομα πλάνης. 30. Ἔοικε τούτῳ 30. τῷ λόγῳ ἐκεῖνος ὁ κανὼν ὁ λέγων »falsa demonstratio legatum non peremit.«[2]) ὀφείλεις γὰρ εἰδέναι ὅτι παρέπεται τοῖς ληγάτοις πότε μὲν demonstratíωn πότε δὲ caûsa. demonstratíωn δέ ἐστι δήλωσις πράγματος, ὃ ληγατεύεται· οἷον ἐληγάτευσέ τις οὕτως εἰπών· »Στῖχον τὸν ἐμὸν οἰκέτην τὸν οἰκογενῆ ληγατεύω Τιτίῳ.« χρήσιμον τὸ ληγάτον, εἰ καὶ[3]) ὁ Στῖχος οὐκ ἦν οἰκογενής, ἀλλ' ἐξ ἀγορασίας αὐτὸν ἔσχεν[4])· ἢ καὶ οὕτως εἶπε· »Στῖχον τὸν οἰκέτην ὃν ἀπὸ Seíu ἠγόρασα ληγατεύω Τιτίῳ«, ἔτυχον δὲ[5]) αὐτὸν ἀγοράσας ἀπὸ Prímu, χρήσιμον καὶ οὕτως τὸ ληγάτον διὰ τὸν εἰρημένον κανόνα τὸν λέγοντα falsa demonstratio legatum non peremit. 31. Καὶ πλαστὴ δὲ αἰτία ἐγκειμένη ληγάτῳ οὐκ ἀκυ- 31. ροῖ τὸ ληγάτον. caûsa δέ ἐστι δήλωσις τῆς αἰτίας, δι' ἣν ληγατεύεται, οἷον ἐληγάτευσέ τις οὕτως· »δίδωμι καὶ ληγατεύω Τιτίῳ Στῖχον τὸν ἐμὸν οἰκέτην, ἐπειδὴ ἀπόντος μου τὰ ἐμὰ διῴκησε πράγματα·« ἢ οὕτως· »οἰκέτην ληγατεύω Τιτίῳ, ἐπειδὴ διὰ τῆς αὐτοῦ προστασίας κεφαλικοῦ ἐγκλήματος ἠλευθερώθην.« εἰ καὶ τὰ μάλιστα γὰρ οὐ διῴκησε τὰ ἐμὰ πράγματα[6]) Τίτιος οὐδὲ διὰ τῆς αὐτοῦ προστασίας κεφαλικοῦ ἠλευθερώθην κινδύνου,[7]) ἰσχυρὸν τὸ ληγάτον διὰ τὸν κανόνα τὸν λέγοντα· »falsa causa legatum non peremit.« εἰ μέντοι αἱρετικῶς τὴν αἰτίαν ἐξεφώνησα εὑρέθη δὲ ψευδὴς ἡ αἰτία, λήψεται οὐδὲν ὁ ληγατάριος. εἶπον γὰρ οὕτως· »ληγατεύω Τιτίῳ τόνδε[8]) τὸν ἀγρόν, εἴγε διῴκησε[9]) τὰ ἐμὰ πράγματα.« εἰ μὲν γὰρ διῴκησε, λή-

---

1) ἐν ἑκάστῳ V. 2) τουτέστι πλαστὴ [ψευδὴς Vi. R.] δήλωσις ληγάτον οὐ βλάπτει [ἀκυροῖ Vi. R.] V. L6. Vi. R. ad. 3) καὶ εἰ Vi. R. 4) —ον Vi. R. hic et deinc. 5) γὰρ V. 6) ὁ ad. V. 7) ἐγκλήματος ἠλευθ. V. 8) d. Vi. R. 9) διῴκει ἅμα V.

idcirco inrita fiet institutio et quidem iure. nomina enim significandorum hominum gratia reperta sunt, itaque si alio quolibet modo persona intellegi possit, nulla erit differentia nullumque incommodum ex errore, qui in nomine admissus
30. est. 30. Huic rationi proxima regula quoque est, falsam demonstrationem legatum non peremere. scire enim debes legatis modo demonstrationem, modo causam adici. demonstratio uero est rei legatae declaratio: ueluti si quis hoc modo legauerit: »Stichum seruum meum uernam Titio lego.« utile enim legatum est, licet Stichus uerna non sit, set emptus. set si ita dixerit: Stichum seruum, quem a Seio emi, Titio lego, cum eum a Primo emisset, item utile erit legatum propter regulam dicentem falsa demonstratione
31. legatum non peremi. 31. Falsa quoque causa legato adiecta legatum non infirmat. causa uero est rationis declaratio, qua legatur. ueluti si quis ita legauerit: Stichum hominem meum Titio do lego, quia me absente mea negotia curauit, uel ita: Titio hominem lego, quia eius patrocinio crimine capitali sum absolutus. si enim negotia mea Titius nunquam gesserit, nec eius patrocinio capitis periculum effugerim, ualebit legatum propter regulam, falsa causa legatum non peremi. si tamen condicionis modo causam enuntiauerim, quae falsa inuenta est, nihil legatarius consequetur. ueluti hoc modo: Titio hunc fundum lego, si mea negotia curauerit. si enim res ges-

ψεται ὡς τῆς αἱρέσεως ἐξελθούσης, εἰ δὲ μὴ διῴκησεν, ὡς τῆς αἱρέσεως ἀσθενούσης, τούτῳ τῷ τρόπῳ οὐδεμία τῷ ληγαταρίῳ ἀγωγὴ[1]) *δοθήσεται.* 32. *Ἔχε ταῦτα ὡς ἐν προθεωρίᾳ·* 32. *ἐπειδὰν εἰς ἓν καὶ τὸ αὐτὸ πρόσωπον περιστῇ*[2]) *τὰ δίκαια τοῦ ἐνάγοντος καὶ τοῦ ἐναγομένου, ἡ γενομένη κατὰ τοῦτον τὸν τρόπον* confusíων[3]) *ἀποσβέννυσι τὴν δίκην. οὐδεὶς γὰρ καθ' ἑαυτοῦ*[4]) *δύναται κινεῖν δικαστήριον. κἀκεῖνο δὲ πάλιν ὀφείλεις εἰδέναι τὸ πρὸ ὀλίγων εἰρημένον, ὅτι καταφορὰ τοῖς ληγάτοις ἐστὶ, τοῖς μὲν* púrois *ἡ τοῦ* testátoros *τελευτή, τοῖς δὲ αἱρετικοῖς ἡ τῆς αἱρέσεως ἔκβασις. ἐπειδή σοι ταῦτα προτεθεώρηται, ὅρα λοιπὸν τὸ προκείμενον. τελευτῶν τις ἐνεστήσατό με κληρονόμον, εἶτα Στίχῳ τῷ ἐμῷ οἰκέτῃ ληγάτον κατέλιπε παρ' ἐμοῦ. ζητῶμεν εἰ ὀρθῶς καταλείφθη τὸ ληγάτον, ἐπειδὴ εἰς τὸ αὐτὸ*[5]) *πρόσωπον συντρέχει τὰ δίκαια τοῦ ἐνάγοντος καὶ τοῦ ἐναγομένου. ἐγὼ γάρ εἰμι* réos, *οἷα κληρονόμος ὤν, ἐγὼ*[6]) **áctωr** *οἷα δεσπόζων*[7]) *τοῦ ληγαταρίου*[8])*· ἐπειδὴ οὖν εἰς ἐμὲ συνέδραμε τὸ δίκαιον τοῦ ἐναγομένου καὶ τοῦ ἐνάγοντος*[9]) *συγχεῖται*[10]) *ἡ δίκη. ἀλλά τινες λέγουσι τῶν νομικῶν ὅτι δεῖ προσέχειν τῇ καταφορᾷ,*[11]) *τουτέστιν ὅτε καὶ ἁρμόζει ἡ τοῦ ληγάτου ἀγωγή. καὶ εἰ μὲν κατ' ἐκεῖνον τὸν χρόνον ἀλλήλων κεχώρισται*[12]) *τὰ πρόσωπα τοῦ κληρονόμου καὶ τοῦ ληγαταρίου (εἰκὸς γὰρ ἐπιζήσαντος τοῦ εἰς ἐμὲ*[13]) *διαθεμένου, Στῖχον τὸν ἐμὸν οἰκέτην ἠλευθέρωσα*[14]) *ἢ ἐξεποίησα*[15])*, ἐπειδὴ διακέκριται τὰ πρόσωπα, ἔρρωται τὸ ληγάτον. εἰ δὲ ἐν τῷ καιρῷ τῆς τελευτῆς τοῦ* testátoros *εὑρέθην*[16]) *ὑπεξούσιον ἔχων τὸν οἰκέτην τὸν καὶ ληγατάριον, ἀποσβεσθήσεται*[17]) *τὸ ληγάτον διὰ τὸν εἰρημένον λόγον. ταῦτα*[18]) *ἐν ᾧ* púrωs *κατελείφθη· εἰ δὲ αἱρετικῶς,*

---

1) *ἀγ. τῷ λ.* Vi. F. R. 2) *παραστῇ* V. 3) *τουτέστι σύγχυσις* [*ἤτοι σύμβασις* V. L^6.] libri. edit.: deleui ut gloss. 4) *τις* ad. M. 5) *ἓν* Vi. R. 6) ita M.: *ἐγὼ δὲ ἄκτ.* V.: *ἐγὼ πάλιν ἄκτ.* L^6. Vi. F^1. R.: *ἐγὼ ἄκτ. εἰμι* L^1. F^2. 7) *δεσπότης ὢν* Vi. R. 8) d. Vi. R. 9) *τοῦ ἐ—οντος κ. τ. ἐ—μένου* V. 10) *δοκεῖ συγχεῖσθαι* V. L^6. 11) *τὴν καταφορὰν* V. 12) d. V. 13) d. Vi. R. 14) *—σέ με* V. 15) *ἐκποιήσασθαι* V. 16) *ἐγὼ* L^6. Vi. R. 17) *ἀπέσβεσται* L^1. L^2. V. L^6. Vi. R. 18) *δὲ* ad. V.

sit, accipiet perinde ac si condicio extiterit, sin minus, ueluti
32. condicione deficiente nulla legatario actio dabitur. 32. Haec in primis perspecta habeas. Cum in unam eandemque personam actoris reique iura concurrant, confusione inde orta extinguitur actio. nemo enim aduersus semetipsum agere potest. eius quoque meminisse iuuat, quod paullo superius diximus, deferri legata si pura sint a morte testatoris, sin autem sub condicione relicta sint, a condicionis euentu. cum haec tibi perspecta sint, uide quae inde sequantur. cum quis moreretur, me herede instituto, Sticho seruo meo legatum a me reliquit. quaeritur an recte legatum sit, in eiusdem enim personam actoris et rei iura concurrunt: ego enim reus sum, utpote heres; ego autem actor, utpote dominus legatarii. cum itaque in me rei et actoris iura concurrant, actio confunditur. sunt tamen qui dicant legati delationem esse expectandam, cum scilicet legati actio competere incipiat. et si quidem tunc temporis heredis et legatarii personae fuerint separatae (fieri enim potest ut uiuo testatore Stichum hominem meum manumittam aut uendam), cum distinctae sint personae, confirmabitur legatum. sin autem testatoris mortis tempore seruus legatarius in mea potestate inuentus fuerit, extinguitur legatum propter quam proposuimus rationem. haec quidem si pure relictum sit. si uero sub condicione, non amplius

σκοποῦμεν οὐκέτι τὴν τελευτὴν τοῦ διαθεμένου, ἀλλὰ τὴν ἔκβασιν τῆς αἱρέσεως. καὶ εἰ μὲν ἐξελθοῦσα[1]) ἡ αἵρεσις ηὗρε τὸν Στῖχον ἢ ἐλεύθερον ἢ ἑτέρου ὄντα οἰκέτην, ἰσχυρὸν τὸ ληγάτον· εἰ δὲ ταύτης παραγενομένης ἐμὸς ὑπεξούσιος εὑρέθη τὸ ληγάτον ἀνυπόστατον· ταῦτα μέν τινες· τὸ δὲ κρατῆσαν οὕτως ἔχει. ἐπὶ μὲν γὰρ τῶν αἱρετικῶν ἀληθές ἐστι τὸ εἰρημένον ὅτι δεῖ σκοπεῖν τὴν ἔκβασιν τῆς αἱρέσεως, ἐπὶ δὲ τῶν púrωn ἅμα τῇ γραφῇ τὸ ληγάτον ἄρχηστόν ἐστι διὰ τὸν[2]) κανόνα τὸν λέγοντα· »πάντα τὰ λήγατα ὅσα ἤμελλεν ἄχρηστα εἶναι εἴγε παραχρῆμα μετὰ τὴν ποίησιν τῆς διαθήκης ἐτελεύτησεν ὁ testátωr ταῦτα μὴ διὰ τοῦτο βεβαιοῦσθαι[3]), ἐπειδὴ συνέβη πολὺν αὐτὸν ἐπιβιῶναι χρόνον τῇ ποιήσει τῆς διαθήκης, ὥςτε χώραν γενέσθαι τῷ κληρονόμῳ Στῖχον τὸν ἴδιον οἰκέτην ἢ ἐλευθερῶσαι ἢ ἐκποιῆσαι[4]).« εἰ γὰρ ἅμα τῷ πληρῶσαι τὴν διαθήκην[5]) ἐτελεύτησεν ὁ διαθέμενος, ἤμελλεν ὁ οἰκέτης ὑπεξούσιος εὑρίσκεσθαι[6]) τῷ κληρονόμῳ. 33. Τί δὲ ὅτι ἐκ τοῦ ἐναντίου τε- 33.
λευτῶν τις τὸν ἐμὸν οἰκέτην ἐνεστήσατο κληρονόμον, ληγάτον δέ μοι κατέλιπεν ἀπ' αὐτοῦ; ἐνταῦθα δίχα πάσης ἀμφιβολίας ἰσχύει τὸ καταλειφθέν. καὶ γὰρ εἰ καὶ[7]) μετὰ τὴν ποίησιν τῆς διαθήκης ὁ testátωr ἐτελεύτησεν, οὐκ ἤμελλε παρὰ τῷ κληρονόμῳ ἡ τοῦ ληγάτου προχωρεῖν ἡμέρα. ἄνω μὲν γάρ, ἔνθα[8]) κληρονόμος ἦν[9]) δεσπότης, ληγατάριος δὲ οἰκέτης κατενεχθὲν τὸ ληγάτον ἐπὶ τὸν οἰκέτην εὐθέως προσεπορίσθη τῷ δεσπότη· ἐπὶ δὲ τούτου τοῦ θέματος οὐ δυνατὸν εἰπεῖν, ὅτι τὸ ληγάτον κατενεχθὲν ἐπὶ τὸν δεσπότην προσεπορίσθη τῷ οἰκέτῃ τῷ γραφέντι κληρονόμῳ. ἐνταῦθα γὰρ ἡ κληρονομία κεχώρισται τοῦ ληγάτου καὶ δύναται ἕτερος διὰ τούτου τοῦ Στίχου κληρονόμος γίνεσθαι. εἰ γὰρ πρὶν κελεύσω αὐτῷ[10]) aditeûsai καὶ προςπορῖσαί μοι τὴν κληρονομίαν, εἰς τὴν ἑτέρου μετενεχθῇ[11]) ὑπεξουσιότητα, τῷ καινῷ δεσπότῃ προςπορίζει τὴν κληρονομίαν[12]), εἰ δὲ ἠλευθερώθη,

---

1) ἐξιοῦσα L6. Vi. R. 2) Κάτωνος ins. edit. ommittunt M. L1. L2. V. L6. 3) ἐπιβεβ. Vi. R. 4) ita M. V. L1. L2. L6.: edit. ἐκκ ἢ ἐλευθ. 5) ποιῆσαι τὴν διαθ. ἐτ. ὁ τεστάτωρ Vi. R. 6) γενέσθαι V. 7) d. Vi. R. 8) ἐνταῦθα V. 9) ὁ ad. L1. L2. V. L6. Vi. R. 10) d. Vi. R. 11) μετελθῇ Vi. R. 12) d. L6.

testatoris mortis tempus inquirimus, set condicionis euentum. set si, cum condicio extiterit, Stichus aut liber aut alterius personae seruus erit, ualebit legatum: sin autem mihi subiectus erit, inutile erit legatum. set haec quorundam sententia est: ius uero quo utimur eiusmodi est. in legatis sub condicione relictis uerum est quod diximus, inspiciendum esse condicionis euentum; in puris uero ab initio legatum inutile est propter Catonis regulam, quae ait: legata omnia, quae inutilia forent si testator statim post testamentum conditum decederet, non ideo confirmari, quia post testamentum conditum tempus aliquod superuiuat, ita ut heredi copia suppetat Stichum manumittendi uel alienandi. si enim statim post perfectum testamentum decessisset testator, seruus in heredis
33. potestate esset inuentus. 33. Quid autem si ex diuerso quis moriens seruum meum heredem instituit, mihi autem ab eo legatum reliquit? hoc casu non est ambigendum quominus legatum ualeat. nam si post testamentum factum testator decederet, non cederet apud heredem dies legati. superiore casu, quo heres erat dominus, legatarius autem seruus, legatum seruo delatum statim domino quaerebatur: in hoc autem casu nequit dici legatum domino delatum seruo heredi instituto quaesitum iri. hic enim hereditas a legato distinguitur, cum alius possit per hunc Stichum heres fieri. si igitur antequam iubeam eum adire mihique quaerere hereditatem, in alterius potestatem sit translatus, nouo domino quaeret; si uero manumissus fuerit, sibimet ipse adiens here-

αὐτὸς aditeúων *ἑαυτῷ προςπορίζει τὴν κληρονομίαν. καὶ ἐν τούτοις τοῖς θέμασι χρήσιμον ἔσται τὸ ληγάτον, διακέκριται γὰρ τὸ πρόσωπον τοῦ κληρονόμου καὶ τοῦ ληγαταρίου. δυνήσομαι γὰρ κατὰ τοῦ ἐλευθερωθέντος καὶ* aditeúsantos *ἢ κατὰ τοῦ καινοῦ δεσπότου κινῶν ἀπαιτεῖν τὸ ληγάτον. εἰ δὲ ἔτι μένων ἐν τῇ ἐμῇ ὑπεξουσιότητι τῇ ἐμῇ κελεύσει* aditeúsῃ, *ἐξασθενεῖ τὸ ληγάτον· εὑρίσκομαι γὰρ ἐγὼ καὶ ληγατάριος ἀπὸ τῆς γραφῆς καὶ κληρονόμος ἀπὸ τοῦ προςπορισμοῦ.* 34. Ante 34.
heredis institutionem[1]) *ἀχρήστως ληγατεύομεν καὶ*[2]) *εἰκότως, ἐπειδὴ αἱ διαθῆκαι τὴν ἰσχὺν λαμβάνουσι*[3]) *ἐκ τῆς ἐνστάσεως τῶν κληρονόμων. διὸ κεφαλὴ ὥςπερ καὶ θεμέλιος τῆς πάσης διαθήκης εἶναι νοεῖται τοῦ κληρονόμου ἡ ἔνστασις, ὥςτε οὖν τὸ καταλιμπανόμενον πρὸ τῆς ἐνστάσεως τοῦ κληρονόμου ἐκτὸς εἶναι δοκεῖ τῆς διαθήκης. τῷ αὐτῷ*[4]) *λόγῳ οὐδὲ ἐλευθερία πρὸ ἐνστάσεως δίδοσθαι δύναται.*[5]) *ἀλλ' ἐπειδὴ ἄτοπον ἐνόμισεν*[6]) *ὁ θειότατος ἡμῶν βασιλεὺς τὴν μὲν τάξιν ἡμᾶς παραφυλάττειν τῆς ἐν*[7]) *διαθήκῃ γραφῆς, ὅπερ καὶ ὑπ' αὐτῶν ἐψέγετο τῶν ἀρχαίων, καταφρονεῖν δὲ τῆς τῶν τελευτησάντων βουλήσεως, τέθεικε διάταξιν δι' ἧς καὶ τὸ παρὸν ἐλάττωμα διώρθωσεν, ὥςτε ἐξεῖναι καὶ* »ante heredis institutiones« *καὶ* »inter medias heredum institutiones« *ληγάτον καὶ πολλῷ πλέον ἐλευθερίαν καταλιμπάνειν, ἥτις ἐλευθερία πλείστης ἠξιώθη*[8]) *σπουδῆς. καὶ* »ante heredis *μὲν*[9]) institutionem« *ἐστὶν,*[10]) *οἷον ἐὰν εἴπω ἀρχόμενος τῆς διαθήκης οὕτως· ληγατεύω τῷδε ἑκατὸν νομίσματα ἢ* »*ἔστω ὁ δεῖνα ἐλεύθερος,*« *καὶ μετὰ ταῦτα ἐπαγάγω·* »*ἔστω μου ὁ δεῖνα κληρονόμος.*« »inter medias *δὲ*[11]) heredum institutiones« *ἐστὶν ἡνίκα εἴπω·* »*ἔστω μου* Prîmos *κληρονόμος εἰς ἓξ οὐγκίας,*[12]) *ληγατεύω τῷδε*[13]) *ἑκατὸν νομίσματα*« (*ἤγουν* »*ἔστω ἐλεύθερος Στῖχος ὁ οἰκέτης*«), *ἐπαγάγω δὲ μετὰ ταῦτα*

---

1) *ἤτοι πρὸ κληρονόμου ἐνστάσεως* (*πρὸ ἐνστ. τοῦ κλ.* Vi. R.) V. L6. Vi. R. ad. 2) ad. ex M. Vi. R. 3) *—ωσι* M. *ἔχουσαι* V. 4) *Τούτῳ τῷ* Vi. R. 5) *δύν. δίδ.* V. 6) *εἶναι* ad. Vi. R. 7) *τῇ* ad. Vi. R. 8) *διηξ.* V. 9) *ἡ* ad. M. 10) d. V. Vi. R. 11) Add. ex M. 12) *ἢ* ad. L1. L2. L6. 13) *καὶ τῷδε* ad. Vi. R.

ditatem adquiret. et in his quidem casibus utile erit legatum: distinguuntur enim legatarii et heredis personae. possum enim a manumisso, qui adierit, uel a nouo domino legatum petere. sin autem in mea potestate permanserit et meo iussu adierit, euanescit legatum; fio enim legatarius ex
34. testamento, heres autem ex serui aditione. 34. Ante heredis institutionem inutiliter legamus et iure quidem; cum testamenta ex heredis institutione uim accipiant. ideoque caput quodammodo et fundamentum totius testamenti heredis institutio intellegitur; et itaque quidquid ante heredis institutionem relinquitur, extra testamentum esse uidetur. eadem ratione nec libertas ante institutionem dari potest. set cum inciuile putauerit sanctissimus princeps noster ordinem quidem scripturae in testamento nos sequi, quod et a ueteribus uituperatum est, uoluntatem autem defuncti spernere, constitutionem promulgauit, qua hoc quoque uitium emendauit; ut liceat et ante heredis institutionem et inter medias heredum institutiones legatum et multo magis libertatem relinquere, quae semper fauore est adfecta. et ante heredis institutionem, ueluti si initio testamenti dicam: *illi solidos centum lego* uel *ille liber esto*, addamque inferius: *ille mihi heres esto*: inter medias heredum institutiones id fit, cum dicam: *Primus ex semisse heres esto: illi centum solidos lego* (uel *Stichus seruus liber esto*), adiciamque postea alterum heredem hoc modo: *Secundus*

καὶ τὸν δεύτερον κληρονόμον καὶ εἴπω· ἔστω[1]) Secûndos κλη-
ρονόμος εἰς τὸ ἕτερον ἑξαούγκιον. 35. [a]) Post »mor- 35.
tem heredis ἢ post mortem legatarii« ἀχρήστως καταλιμπάνεται τὸ ληγάτον· οἷον ἐάν τις εἴπῃ· »μετὰ τὴν τελευτὴν τοῦ ἐμοῦ κληρονόμου ληγατεύω τῷδε ἑκατὸν νομίσματα.«[2]) τέως μὲν γὰρ ἐν ὅσῳ περίεστιν[3]) ὁ κληρονόμος, οὐκ ἀπαιτεῖται τὸ ληγάτον. μετὰ τὴν αὐτοῦ τελευτὴν[4]) οὐδὲ ὁ κληρονόμος αὐτοῦ ἀπαιτηθήσεται διὰ τὸν κανόνα τὸν λέγοντα· »ἀγωγὴ[5]) καθ' ἡμῶν μὴ ἀρξαμένη κατὰ τῶν ἡμετέρων[6]) οὐ διαβαίνει κληρονόμων«. τὸ αὐτὸ καὶ ἐπὶ ληγαταρίων. ἐὰν γὰρ εἴπω· »ληγατεύω Prímῳ μεθὸ τελευτήσῃ νομίσματα ἑκατὸν,« ἀνυπόστατον τὸ ληγάτον. οὔτε γὰρ αὐτὸς δύναται ἀπαιτεῖν διὰ τὰ ῥήματα τοῦ testátoros οὔτε ὁ αὐτοῦ κληρονόμος διὰ τὸν[7]) κανόνα τον λέγοντα. »ἀγωγὴ ἀφ' ἡμῶν μὴ ἀρξαμένη ἐπὶ τοὺς ἡμετέρους οὐ διαβαίνει κληρονόμους«. καὶ τὸ [b]) »pridie quam heres ἢ quam legatarius morietur« ληγάτον ἄχρηστόν ἐστιν. οἷον ἐὰν εἴπω· πρὸ μιᾶς ἡμέρας τοῦ μέλλειν τελευτᾶν τὸν ἐμὸν κληρονόμον ἢ τοῦ μέλλειν τελευτᾶν τὸν Títion ληγατεύω Titíῳ ἑκατὸν νομίσματα. ἄδηλος γὰρ ἦν[8]) ἡ ἡμέρα[9]) πρὸ μιᾶς τῆς τελευτῆς· μετὰ γὰρ τὴν τελευτὴν τότε εἰς τὸ παρελθὸν ἀνατρέχοντες λέγομεν ὅτι ἡ χθὲς ἡμέρα πρὸ μιᾶς ἦν τῆς τελευτῆς καὶ ἐπειδὴ ἐκ τελευτῆς καταλαμβάνεται πάλιν εἰς τὸ post mortem ἐμπίπτει. ἀλλὰ καὶ ταῦτα τῆς αὐτῆς ἠξίωσεν ὁ θειότατος ἡμῶν βασιλεὺς διορθώσεως τὸ ἰσχυρὸν παρέχων τοῖς οὕτω καταλιμπανομένοις πρὸς μίμησιν τῶν fideicommíssων. τὰ γὰρ οὕτω καταλιμπανόμενα fideicómmissa[10]) ἐδέχοντο οἱ παλαιοὶ διαβάλλοντες τὰ[11]) ληγάτα. ὥςτε οὖν οὐδεμία λοιπὸν[12]) ἐν τούτοις διαφορὰ[13]) λη-

